# ΜΑΝΟΥΗΛ ΧΡΥΣΑΦΗΣ

## λαμπαδάριος τοῦ βασιλικοῦ κλήρου.

Μανουὴλ ὁ Χρυσάφης εἶναι εἷς τῶν ὀλίγων βυζαντινῶν μελουργῶν, τῶν γραψάντων ἐξ ἐπόψεως θεωρητικῆς περὶ τῆς ἐν τῷ βυζαντινῷ κράτει συνήθους ἐκκλησιαστικῆς μουσικῆς ἐπὶ τῆς ἐσχάτης αὐτῆς ἀκμῆς. Μέχρι τοῦδε ἀγνοοῦμεν, ἂν ὁ Μανουὴλ οὗτος ἔγραψέ ποτε πλῆρες τῆς μουσικῆς ταύτης σύστημα, ἢ τουλάχιστον γενικόν τι περὶ αὐτῆς ἐγχειρίδιον. Ὅ, τι γινώσκομεν συνίσταται εἰς τοῦτο, ὅτι συνέταξε διά τινα Γεράσιμον ἱερομόναχον, μαθητὴν αὐτοῦ, πραγματείαν «περὶ τῶν ἐνθεωρουμένων τῇ ψαλτικῇ τέχνῃ καὶ ὧν φρονοῦσι κακῶς τινες περὶ αὐτῶν»· περιστρέφεται δὲ αὕτη ἰδίᾳ εἰς τὸ περὶ φθορῶν ζήτημα.

Ἡ ἐποχὴ τῆς ἀκμῆς Μανουὴλ τοῦ Χρυσάφη δὲν εἶναι καθωρισμένη. Ἰωάννης ὁ Τζέτζης λέγει ἁπλῶς, ὅτι ἤκμασε περὶ τὸν 15-ον αἰῶνα[1]· ὁ Krumbacher ἐθέλει αὐτὸν μουσικὸν συγγραφέα μεταξὺ τοῦ 15-ου καὶ τοῦ 16-ου αἰῶνος ἀκμάσαντα[2]). Χρύσανθος δὲ ὁ Δυρραχίου συγχέει τὸν Μανουὴλ Χρυσάφην πρὸς Χρυσάφην τὸν Νέον, ὅστις ἤκμασεν ἐν τῷ 17-ῳ αἰῶνι, ἂν καὶ παραδέχεται Χρυσάφην τινὰ παλαιόν, Μανουὴλ ὡσαύτως ὀνομαζόμενον· καὶ ἀποδίδωσι τὸ πόνημα τούτου εἰς τὸν νέον Χρυσάφην[3]). Ἐντεῦθεν ἡ σύγχυσις αὕτη ἐπανελήφθη ὑπὸ τοῦ Πορφυρίου Οὐσπένσκη[4]) καὶ τελευταῖον ὑπὸ Γεωργίου Παπαδοπούλου[5]).

---

1) J. Tzetzes, Ueber die altgriechische Musik in der griechischen Kirche, σ. 18.

2) K. Krumbacher, Gesch. der byz. Litteratur ², σ. 599.

3) Χρυσάνθου Θεωρητικὸν μέγα τῆς μουσικῆς. Ἐν Τεργέστῃ 1836, σ. XLII. «Μανουὴλ ὁ νέος Χρυσάφης ἤκμασε περὶ τὸ ͵αχξ' [1660] ἔτος ἀπὸ Χρ. Ἐμέλισεν Ἀναστασιματάριον, Στιχηράριον, χερουβικά, κοινωνικὰ καὶ ἕτερα· συνέγραψεν ἐγχειρίδιον περὶ μουσικῆς, ἐξ οὗ φαίνεται πεπαιδευμένος ὁ ἀνὴρ ἱκανῶς καὶ τὴν ψαλμῳδίαν καὶ τὴν ἑλλάδα φωνήν· σώζεται δὲ τὸ ἐγχειρίδιόν του χειρόγραφον».

4) Οὗτος νομίζει ὅτι Μανουὴλ ὁ λαμπαδάριος, οὗ μαθητὴς Γεράσιμος ὁ ἱερομόναχος, εἶναι σύγχρονος τοῦ νέου Χρυσάφη. Первое путешествіе въ Аѳонскіе монастыри и скиты. Часть II. Приложенія къ второму отдѣленію сей части. Москва 1881, σ. 78.

5) Γ. Ἰ. Παπαδοπούλου, Συμβολαὶ εἰς τὴν ἱστορίαν τῆς παρ' ἡμῖν ἐκκλησιαστικῆς μουσικῆς. Ἐν Ἀθήναις 1890, σ. 292.

Ὅτι ὑπῆρξαν δύο Χρυσάφαι, δὲν ἁρμόζει νἀμφισβητῶμεν, διότι τὰ χειρόγραφα μουσικὰ βιβλία ἀπὸ τοῦ 17-ου αἰῶνος διακρίνουσι τὸν παλαιὸν ἀπὸ τοῦ νέου Χρυσάφη· ἐν οἷς δὲ τόποις ἡ διάκρισις αὐτῶν εἶναι ἀσαφής, χρησιμεύει τὸ ἑξῆς κριτήριον, ὅπερ ἐπορίσθην ἐσχάτως ἐκ τῆς αὐτοψεὶ παρατηρήσεως πολλῶν ὁμοῦ χειρογράφων ἐκκλησιαστικῆς μουσικῆς. Εὗρον δηλαδὴ ἐν αὐτοῖς, ὅτι ὁ μὲν παλαιὸς Χρυσάφης εἶχε βαπτιστικὸν ὄνομα τὸ Μανουὴλ ἢ Ἐμμανουὴλ καὶ ὀφφίκιον ἐκκλησιαστικὸν τὸ τοῦ λαμπαδαρίου, ὁ δὲ νέος Χρυσάφης ὠνομάζετο Χρυσάφης ὁ Νέος, ἢ ἁπλῶς Χρυσάφης, λαβὼν τοῦτο τὸ ὄνομα ἐν τῷ βαπτίσματι (ὑπῆρξε δέ τις ἅγιος Χρυσάφιος, ὅστις ἑορτάζεται τῇ 25-ῃ ὀκτωβρίου)· ἀξίωμα δὲ ἐκκλησιαστικὸν εἶχε τὸ τοῦ πρωτοψάλτου τῆς Μεγάλης Ἐκκλησίας· θὰ ἔφερε καὶ οὗτος ἀναμφιβόλως οἰκογενειακόν τι ὄνομα· τοιοῦτον ὅμως οὐδὲν τῶν ὑπ' ἐμοῦ παρατηρηθέντων χειρογράφων ἐφανέρωσεν, ἐκτὸς ἂν ὑπολάβωμεν, ὅτι ὁ ἅπαξ μόνον ἔν τινι μουσικῷ χειρογράφῳ τοῦ 1777-ου ἔτους ἀπαντηθεὶς Χρυσάφης ὁ κὺρ Γαζῆς εἶναι αὐτὸς οὗτος ὁ νέος Χρυσάφης[1]). Ὥστε ἄν ποτε ἐν καταλόγῳ τινὶ χειρογράφων ὠνομάσθη Μανουὴλ ἢ Ἐμμανουὴλ καὶ ὁ νέος Χρυσάφης, τοῦτο προῆλθεν ἁπλῶς ἐξ ἐπιδράσεως τῆς παρὰ τῷ Χρυσάνθῳ εὑρισκομένης συγχύσεως τοῦ παλαιοῦ πρὸς τὸν νέον Χρυσάφην[2]).

Βιογραφικαὶ εἰδήσεις περὶ τοῦ Μανουὴλ Χρυσάφη δὲν ὑπάρχουσι· γινώσκομεν μόνον ἐξ ἐπιγραφῶν μουσικῶν τινων αὐτοῦ συνθέσεων, ὅτι ὑπῆρξε λαμπαδάριος ἐν Κωνσταντινουπόλει ἐπὶ τῶν δύο τελευταίων βυζαντινῶν αὐτοκρατόρων, Ἰωάννου τοῦ 5-ου καὶ Κωνσταντίνου τοῦ 10-ου. Οὕτως ἐν τῷ 40-ῷ κώδικι τῆς μονῆς Ὑψηλοῦ (18-ου αἰῶνος) ὑπάρχει σύνθεσίς τις τοῦ Μανουὴλ «ἐκ διορισμοῦ βασιλέως Ἰωάννου τοῦ Παλαιολόγου»[3]). Ἐν τῷ 244-ῳ κώδικι τῆς μονῆς Λειμῶνος (16-ου αἰῶνος) ὑπάρχει «Ἑσπερινός· ποίημα τοῦ Χρυσάφη· ἐποιήθη διὰ συζητήσεως τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντινουπόλεως κὺρ Κωνσταντίνου»[4]). Ἐν τῇ ἡμετέρᾳ Παπαδικῇ (18-ου αἰῶνος) εἰς φύλλον 51-ον ὑπάρχει τετονισμένος ὁ στίχος «Ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι» κτλ. Ἡ ἐπι-

1) Ἀ. Π.-Κεραμέως, Μαυρογορδάτειος βιβλιοθήκη, τ. 1, σ. 118.

2) Τῆς συγχύσεως ταύτης δεῖγμα ὅρα ἐν τῇ ἡμετέρᾳ Ἱεροσολυμιτικῇ βιβλιοθήκῃ, τ. 1, σ. 486, ἔνθα τὸ «610. Μανουὴλ Χρυσάφη τοῦ νέου κεκραγάρια μετὰ τῶν αὐτῶν ἀναστασίμων». Τὸ ὄνομα Μανουὴλ δὲν ὑπάρχει ἐν τῷ κώδικι· ἐν δὲ τῷ γενικῷ πίνακι (σ. 563) ὑπὸ τὸ ὄνομα Ἐμμανουὴλ Χρυσάφη περιελήφθησαν ἐσφαλμένως οἱ κώδικες οἱ ὀνομάζοντες τὸν νέον Χρυσάφην καί τινα πρωτοψάλτην νεώτατον, ὀνομαζόμενον ἁπλῶς Ἐμμανουήλ, ζῶντα δὲ ἔτει 1808-ῳ (σ. 484). Ἕτερον δεῖγμα συγχύσεως τοῦ Μανουὴλ Χρυσάφη πρὸς Χρυσάφην τὸν Νέον ὑπάρχει ἐν τῷ πίνακι τοῦ Λάμπρου, Catalogue of the greek manuscripts on mount Athos, τ. 2, σ. 566.

3) Κατὰ τὸν χειρόγραφόν μου κατάλογον. Πρβλ. Μαυρογ. βιβλιοθ. σ. 157.

4) Ἀ. Π.-Κεραμέως, Μαυρογορδ. βιβλιοθήκη, σ. 116.

γραφὴ ἔχει οὕτω· «Τὸ παρὸν ἐποιήθη παρὰ κυροῦ Μανουὴλ λαμπαδαρίου, διὰ προσταγῆς τοῦ αὐτοκράτορος Κωνσταντίνου τοῦ τελευταίου». Ἕτερος κῶδιξ τοῦ 1672-ου ἔτους, ὁ 239-ος τῆς μονῆς Λειμῶνος, ὀνομάζει τὸν Μανουὴλ «λαμπαδάριον τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου» [1]· ἦτον ἄρα λαμπαδάριος οὐχὶ τῆς Μεγάλης Ἐκκλησίας, ἀλλὰ τοῦ παλατίου· ὀνομάζεται δ' ἐν τοῖς χειρογράφοις καὶ μαΐστωρ καὶ πρωτομαΐστωρ [2]).

Μουσικαὶ συνθέσεις τοῦ Μανουὴλ Χρυσάφη ὑπάρχουσι πολλαὶ ἐν τοῖς χειρογράφοις· ταύτας ὅμως ἐν ἀκριβείᾳ ἀγνοοῦμεν, καθόσον οἱ τούτων ἐρευνηταὶ συνήθως ἀναφέρουσιν ἐν τοῖς καταλόγοις ἁπλῶς τὸ ὄνομα τοῦ Μανουήλ. Οὕτως ἔν τινι χειρογράφῳ τοῦ 1575-ου ἔτους ὁ Πορφύριος Οὐσπένσκης εἶδε τοιαύτας, τὸ δὲ χειρόγραφον τοῦτο εὑρίσκεται ἐν τῇ μονῇ τοῦ Βατοπεδίου [3]). Συνθέσεις τοῦ Μανουὴλ ἀδιάκριτοι ὑπάρχουσιν ἐν τοῖς ἑξῆς ἀθηναϊκοῖς κώδιξιν. 886, 893, 894, 898, 900, 902, 904, 905 [4]). Ὡσαύτως cod. Ottobon. 315 [5]). Πάτμου 472 καὶ 490 [6]). Κῶδ. 33 τῆς μονῆς Περιστερᾶ. Κῶδ. 128 τῆς μονῆς Κοσινίτζης· τῆς αὐτῆς μονῆς κῶδ. 349 καὶ 358. Κῶδιξ Πετρουπόλεως 132, 133, 134, 137 [7]). Cod. Clark. 13 καὶ 14 καὶ cod. Canon. 25 [8]). Κῶδ. Λειμῶνος 8, 230, 231, 238, 240, 244, 245, 249 [9]). Κῶδ. 48 τῆς μονῆς Ὑψηλοῦ [10]). Κῶδ. Πατριαρχ. Ἱεροσολύμων 146, 527, 538 [11]). Κῶδ. Ἁγιοσαβιτικὸς 678 [12]).

Ὡρισμέναι συνθέσεις Μανουὴλ τοῦ Χρυσάφη ἐγνώσθησαν ἐκ τῶν καταλόγων αἱ ἑπόμεναι·

1. Στιχηράριον τοῦ ὅλου ἐνιαυτοῦ. Ἔτει 1684-ῳ Γαβριήλ τις ἱερομόναχος εἶχεν, ὡς λέγει, ἀνὰ χεῖρας τὸ πρωτότυπον στιχηράριον τοῦ Μανουήλ, ὅπερ καὶ ἀντέγραψε τότε· τοῦτο δὲ τὸ ἀντίγραφον ὑπάρχει ὑπ' ἀριθ. 554 ἐν τῇ πατριαρχικῇ συλλογῇ τῶν Ἱεροσολύμων. Ἡ ἐπιγραφὴ

---

1) Αὐτόθι σ. 115.
2) Ἀ. Π.-Κεραμέως, Ἱεροσολυμ. βιβλιοθήκη, τ. 1, σ. 478. Τόμ. 4, σ. 249.
3) Первое путешествіе. Часть II. Приложенія, σ. 82.
4) Ἰ. καὶ Ἀ. Σακκελίωνος, Κατάλογος τῶν χειρογράφων τῆς Ἐθνικῆς βιβλιοθήκης τῆς Ἑλλάδος. Ἐν Ἀθήναις 1892, σ. 160, 162 κἑ.
5) E. Feron et F. Battaglini, Codices manuscripti graeci Ottoboniani. Romae, 1893, σ. 168.
6) Ἰ. Σακκελίωνος, Πατμιακὴ βιβλιοθήκη. Ἀθήνησιν 1890, σ. 211 καὶ 215.
7) E. de Muralt, Catal. des Mss grecs de la Bibl. Impériale Publique. S.-Pétersbourg, 1864, σ. 75, 76, 77.
8) H. Coxe, Catalogus, σ. 922.
9) Ἀ. Π.-Κεραμέως, Μαυρογορδάτειος βιβλιοθήκη, τ. 1, σ. 27, 113, 114, 115, 116, 117, 118.
10) Αὐτόθι σ. 158.
11) Ἀ. Π.-Κεραμέως, Ἱεροσολ. βιβλιοθήκη, τ. 1, σ. 240, 370, 371, 469, 474.
12) Αὐτόθι τ. 2, σ. 645.

ἔχει οὕτως· «Ἀρχὴ σὺν θεῷ ἁγίῳ τῶν στιχηρῶν τοῦ ὅλου ἐνιαυτοῦ, ποιηθέντων παρὰ διαφόρων ποιητῶν, καλλωπισθέντων δὲ παρὰ τοῦ Κουκουζέλη, ὕστερον δὲ παρὰ κῦρ Μανουὴλ τοῦ Χρυσάφη». Ἀξιοσημείωτον εἶναι τὸ σημείωμα τοῦ Γαβριήλ· «— — — ὅτι πέρας ἔλαβεν τὸ παρὸν βιβλίον παρεμοῦ τοῦ ἐλαχίστου Γαυβριὴλ ϊεροα͞ εμπόνος καὶ μετὰ πολλοῦ κόπου. ἤγουν τα στ(ι)χ(η)ρ(ὰ) τοῦ ὅλου ἐνιαύτοῦ μετὰ καὶ των αναγραμματισμω(ν) αὐτοῦ καθῶς ευρέθησαν ἐν τω ιδιοχείρω βιβλίω κῦρ Μανουῆλ τοῦ ἀληθῶς μαίστωρος τοῦ Χρυσάφη· καὶ ουχὴ καθῶς ἐγράφησαν καὶ ἐποιήθησαν παρατοῦ Μαγουλᾶ ἐκεῖνου καὶ ετέρων ποιητῶν καὶ οι μέλλωντες εναυτῶ ἄδην. εὔχεσθέ μοι εἰ ενδέχετε καὶ γὰρ ἕνεκεν τοῦτου κεκοπιάκαμεν τὸ δε ἔτος υπήρχεν ἀποκτίσεως κόσμ(ου) ζρ͏ηβ′ χρατ′μθ͞τλε»[1]). Τὸ στιχηράριον τοῦ Μανουὴλ Χρυσάφη εἶχεν ἀνὰ χεῖρας καὶ ὁ νέος Χρυσάφης, ὅστις καὶ μετέβαλε τὴν σημαδοφωνίαν αὐτοῦ, ἀνανεώσας αὐτὴν κατὰ τὸ ἴδιόν του σύστημα. Τοῦτο μανθάνομεν ἐκ σημειώματος ἑτέρου καλλιγράφου, τοῦ Λεσβίου ἱερομονάχου Σεραφίμ, λέγοντος ἐν τῷ 239-ῳ κώδικι τῆς μονῆς Λειμῶνος· «Εἴληφε τέλος, ἡ παροῦσα ἀσματομεληῤῥυηδυτόφθογγος, βίβλος ἐν ἔτει. ͵ζ$^{ω}$ ρ$^{ω}$ π$^{ω}$. ἀπὸ Ἀδάμ: ἀπὸ δὲ Χριστοῦ. ͵α$^{ω}$. χ$^{ω}$. οβ$^{ω}$ [1672]. μηνὸς. τοῦ μαίου·⁛·ἐτελειῶθη δὲ, διαδαπάνης καὶ πλείστης ἐποιμελεῖας; ἰδιόχεῖρου· τοῦ ὁσιωτάτου, καὶ μουσικοῦ; ἐν ἱερομονάχοις, ἐλαχίστου; Σεραφείμ. ἁμαρτωλοῦ τε ὑπερπάντας· ἐκ νύσου Μητιλήνης. ἐκ μονῆς.τοῦ Λειμῶνος. ἀντέγραψα δὲ αὐτῷ ἐν Κωνσταντινουπόλει: ἐν τῇ Αγία καθεζόμενος. ἐκ τοῦ στηχιραρίου τοῦ νέου Χρυσάφου πρωτουψάλτου. ὅπερ αὐτὸς προπολλοῦ· ἐτόνησεν ἐκ τοῦ παλαιοῦ στιχηραρίου, τοῦ κυρίου Χρυσάφου; Ἐμμανουῆλ; καὶ λαμπαδαρίου; τοῦ ευάγοὺς βασιλεικοῦ κλήρους» κτλ.[2]) Ἕτερον πάλιν ἀντίγραφον τοῦ Στιχηραρίου τούτου, ὅπερ, ὡς φαίνεται, δὲν ἐσώθη μέχρις ἡμῶν πιστόν, ὡς ὑπ' αὐτοῦ τοῦ Μανουὴλ ἐτονίσθη ἐξ ἀρχῆς, ὑπάρχει ἐν τῷ 33-ῳ κώδικι τῆς μονῆς τοῦ ἁγίου Γεωργίου τοῦ Περιστερᾶ. Τὸ ἀντίγραφον τοῦτο εἶδον ἐγὼ αὐτὸς ἐν τῇ ῥηθείσῃ μονῇ ἔτει 1884-ῳ· ἔχει δὲ καὶ τοῦτο τὴν αὐτὴν περίπου σημείωσιν, οἵαν καὶ τὸ ἐν τῇ πατριαρχικῇ συλλογῇ τῶν Ἱεροσολύμων, περιλαμβάνον καὶ τοῦτο ὡς εἰκὸς στιχηρὰ κατὰ τὸ σύστημα τοῦ «καλλωπισμοῦ» Χρυσάφη τοῦ Νέου· αὕτη δὲ ἡ σημείωσις ἔχει οὕτω· «Χάρις τῷ ἑνὶ καὶ μεγάλῳ ἐν οὐρανοῖς θεῷ μου, δηλαδὴ τῷ παναγίῳ πατρὶ καὶ τῷ παναγίῳ αὐτοῦ υἱῷ Ἰησοῦ Χριστοῦ, καὶ τῷ παναγίῳ αὐτοῦ πνεύματι, τῷ παρακλήτῳ καὶ ζωοποιῷ, ἡ ἐμὴ λατρεία καὶ τὸ σέβας, ὅτι πέρας ἔλαβεν

1) Αὐτόθι τ. 1, σ. 478. Τὸ σημείωμα κατὰ τὸ πρωτότυπόν μου τετράδιον.
2) Ἀ. Π.-Κεραμέως, Μαυρογορδ. βιβλιοθήκη, τ. 1, σ. 115.

τὸ παρὸν βιβλίον παρ' ἐμοῦ τοῦ ἐλαχίστου ἱερομονάχου Σκυριανοῦ ἐμπόνως καὶ μετὰ πολλοῦ τοῦ κόπου. ἤγουν τὰ στιχηρὰ τοῦ ὅλου ἐνιαυτοῦ μετὰ καὶ τῶν ἀναγραμματισμῶν αὐτῶν, καθὼς εὑρέθησαν ἐν τῷ ἰδιοχείρῳ βιβλίῳ κὺρ Μανουὴλ τοῦ ἀληθῶς μαίστορος τοῦ Χρυσάφη· καὶ οὐχὶ καθὼς ἐγράφησαν καὶ ἐποιήθησαν παρὰ τοῦ Μαγουλᾶ ἐκείνου καὶ ἑτέρων ποιητῶν. καὶ οἱ μέλλοντες ἐν αὐτῷ ᾄδειν εὔχεσθαί μοι εἰ ἐνδέχεται· καὶ γὰρ ἕνεκεν τούτου κεκοπιάκαμεν· τὸ δὲ ἔτος ὑπάρχει ,ζρπς' [= 1678] ἰνδ. α$^{ης}$, ἐν μηνὶ ἀπριλλίῳ ιε'». Καὶ πάλιν αὐτόθι· «Γαβριὴλ ἱερομόναχος ἐστὶν ὁ νῦν γραφεύς, ὃς ἄλλαξε καὶ τὸ ὄνομα τοῦ γραφέως καὶ τὸ ἔτος ἀπὸ τὸ πρωτότυπον· τὰ δὲ λοιπὰ οὗτος [γρ. οὕτως] ἦσαν γραμμένα εἰς τὸ ἀντίτυπον ἀπὸ τοῦ Χρυσάφη». Ἕτερον παλαιότερον ἀντίγραφον παριστᾷ ὁ 4-ος κῶδιξ τῆς ἐν Ἱεροσολύμοις μονῆς τοῦ Ἀβραάμ· ὅστις φέρει τὴν ἑξῆς ἐπιγραφήν. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ στιχηράριον καλόφωνον, περιέχον πᾶσαν τὴν ἀκολουθίαν τῶν τροπαρίων τοῦ ὅλου ἐνιαυτοῦ κατὰ τάξιν, συντεθεῖσαν ὡς φέρεται ἐν τοῖς τυπογραφικοῖς μηναίοις». Ἐν τῷ τέλει τοῦ κώδικος τούτου ἀναγινώσκεται τὸ ἑξῆς σημείωμα· «Εἴληφε τέλος ἡ παροῦσα ᾀσματομελιρρυτόφθογγος βίβλος ἐν ἔτει ἀπὸ μὲν τῆς κοσμοποιίας ,ζρξγ', ἀπὸ δὲ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ,αχνε' (= 1655), μηνὶ Ἀπριλίῳ, ἰνδ. ὀγδόης, συγγραφεῖσα καὶ ἐκπονηθεῖσα παρ' ἐμοῦ τοῦ εὐτελοῦς τε καὶ ἐλαχίστου καὶ ἀμαθοῦς ἁμαρτωλοῦ ὑπὲρ πάντας, Χρυσάφου δῆθεν καὶ πρωτοψάλτου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, προθύμῳ τῇ ἐπιμελείᾳ καὶ δαπάνῃ καὶ πόνῳ οὐ σμικρῷ συντεθεῖσα καὶ αὐτογραφεῖσα ἐκ τοῦ παλαιοῦ στιχηραρίου καὶ ἰδιοχείρου γράμματος τοῦ παλαιοῦ κὺρ Χρυσάφου τοῦ Ἐμμανουὴλ καὶ λαμπαδαρίου τοῦ εὐαγοῦς καὶ βασιλικοῦ κλήρου, οὐ μέντοι κατὰ τὸ κείμενον τοῦ αὐτοῦ βιβλίου ἐκτονισθεῖσα, ἀλλ' ἐν καινῷ τινι καλλωπισμῷ καὶ μελιρρυτοφθόγγοις νεοφανέσι θέσεσι, καθάπερ τανῦν ᾀσματολογεῖται τοῖς μελῳδοῦσιν ἐν Κωνσταντινουπόλει. Τοῦτο τοίνυν, ὅσον τὸ κατ' ἐμὲ ἐφικτόν, παρ' ἐμαυτοῦ γέγονε κατὰ τὴν ἣν παρέλαβον εἰσήγησιν παρὰ τοῦ ἐμοῦ διδασκάλου κὺρ Γεωργίου τοῦ Ῥαιδεστινοῦ καὶ πρωτοψάλτου τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐκτεθεικὼς καὶ τονίσας» κτλ [1]).

2. «Τὸ Μέγα Τρισάγιον κυροῦ Ἐμμανουὴλ τοῦ Χρυσάφη». Ἐν τῷ 230-ῷ κώδικι τῆς μονῆς Λειμῶνος, φύλλ. 205$^{β}$.

3. «Κράτημα κὺρ Μανουὴλ μαίστορος καὶ λαμπαδαρίου το(ῦ) Χρυσάφι, τὸ λεγόμενον κινύρα [κῶδ. κυνήρα]· ἦχος πλάγιος δ'». Ἐν τῷ

---

1) Κλεόπα Κοικυλίδου, Κατάλοιπα χειρογρ. Ἱεροσολυμ. βιβλιοθήκης. Ἐν Ἱεροσολύμοις 1899, σ. 26—28.

240-ῷ κώδικι τοῦ Λειμῶνος, φύλλ. 41. Αὐτόθι ὑπάρχουσι καὶ ἕτερα τοῦ Μανουὴλ κρατήματα.

4. Μέγας ἑσπερινὸς ἢ ἁπλῶς ἑσπερινός. Ἐν τοῖς κώδιξι τοῦ Λειμῶνος 230, 238, 244.

5. Θεοτοκία κατ' ἦχον. Κῶδιξ Λειμῶνος 230, 240, 260.

6. Ὀκτάηχα ἠχήματα. Κῶδιξ Λειμῶνος 238.

7. Ἀλληλουϊάρια. Κῶδιξ Λειμῶνος 238, 240.

8. Χερουβικά. Κῶδιξ Λειμῶνος 230, 238, 240, 245.

9. Κοινωνικά. Κῶδιξ Λειμῶνος 238, 240.

10. Καλοφωνικὰ μαθήματα εἰς ἑορτάς. Κῶδιξ Λειμῶνος 238, φύλλ. 442 κέ.

11. Δύο περσικὰ μέλη, ἅπερ Ἰωάννης ὁ Τζέτζης εὗρεν, ὡς λέγει, ἔν τινι ἀθηναϊκῷ κώδικι[1]).

12. «Θεοτοκίον· ποίημα κὺρ Μανουὴλ τοῦ Χρυσάφη καὶ λαμπαδαρίου, ὅπερ ψάλλεται εἰς τὴν ἐννάτην». Ἀρχ. «Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν». Κῶδιξ 14-ος Νίζνης[2]).

13. Τριαδικά. Κῶδιξ μονῆς Ἰβήρων 1107[3]).

Αἱ συνθέσεις τοῦ Μανουὴλ Χρυσάφη εἶναι συνήθεις ἐν τοῖς μουσικοῖς κώδιξι τοῦ 16-ου, 17-ου καὶ 18-ου αἰῶνος· ἀλλὰ μένουσιν ἄχρι σήμερον ἄγνωστοι ἐκ τοῦ πλησίον. Ἐπειδὴ δὲ ἓν ἀντίγραφον Παπαδικῆς τοῦ 18-ου αἰῶνος εὑρίσκεται τώρα πρόχειρον ἐν τῇ βιβλιοθήκῃ μου, προθύμως ἀναγράφω κατὰ λεπτὸν ἐνταῦθα ὅσα ἐν ἐκείνῃ ἀναφέρονται ὀνομαστὶ μουσουργήματα τοῦ Μανουήλ.

1. Πολυέλεος «κυρίου Μανουὴλ λαμπαδαρίου τοῦ Χρυσάφου· ἦχος α'», φύλλ. 99$^{α}$—103$^{α}$. Ψαλμὸς ρλδ', 1—14 μετὰ τοῦ Δόξα καὶ τοῦ οἰκείου θεοτοκίου.

2. «Τιμιωτέρα κυρίου Μανουὴλ τοῦ Χρυσάφου· ἦχος α'», φύλλ. 134$^{β}$—135$^{α}$.

3. «Τρισάγιον εἰς τὴν εἴσοδον τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· κυρίου Μανουὴλ τοῦ Χρυσάφου· ἦχος δ'», φύλλ. 156$^{α}$.

4. «Ἕτερον κυρίου Μανουὴλ τοῦ Χρυσάφου· ἦχος δ'», φύλλ. 156$^{β}$.

5. Ἀλληλουϊάρια κατ' ἦχον ἕνδεκα, φύλλ. 168$^{β}$—172$^{β}$.

6. Χερουβικόν· ἦχος α', φύλλ. 174$^{β}$—175$^{α}$. Ἕτερα τέσσαρα χερου-

---

1) Ἰ. Τζέτζου, Ἡ ἐπινόησις τῆς παρασημαντικῆς τῶν κατὰ τὸν μεσαίωνα λειτουργικῶν καὶ ὑμνολογικῶν χειρογράφων. Ἀθήνησιν, 1886, σ. 57.

2) А. Дмитріевскій, Описаніе рукописей и книгъ, поступившихъ въ Церковно-Археологическій музей при Кіевской Духовной Академіи изъ греческой Нѣжинской Михаило-Архангельской церкви, с. 81.

3) S. Lambros, Catalogue of the greek Mss on mount Athos, τ. 2, σ. 251.

βικὰ αὐτοῦ καθ' ἑτέρους ἤχους, φύλλ. $182^α$—$183^α$, $187^β$—$188^α$, $199^α$—$200^α$, 204.

7. «Κοινωνικόν· «κυρίου Μανουὴλ λαμπαδαρίου τοῦ Χρυσάφου· ἦχος α' τετράφωνος», φύλλ. $212^β$.

8. «Ἕτερον τοῦ αὐτοῦ μουσικόν τε καὶ ὀργανικόν· ἦχος α' τετράφωνος», φύλλ. $213^α$. Ἕτερα δώδεκα τοῦ αὐτοῦ κοινωνικὰ καθ' ἑτέρους ἤχους, ὧν τρία ὀργανικά· ὅρα φύλλ. $217^α$, $220^α$, $223^β$—$224^α$, $228^α$, 232, $234^β$—$235^α$, $237^β$—$238^α$.

9. Κοινωνικὰ τῆς ἑβδομάδος, κατὰ διαφόρους ἤχους, ἕξ· ὅρα φύλλ. 241—242. «Εἰς μνημόσυνον αἰώνιον» κτλ. Ἕτερα τέσσαρα (Ποτήριον σωτηρίου) κατὰ διαφόρους ἤχους, ὧν τὸ πρῶτον εἰς ἦχον α' τετράφωνον· ὅρα φύλλ. $242^β$—$243^β$. Ἕτερον (Εἰς πᾶσαν τὴν γῆν) κατ' ἦχον πλάγιον δ', φύλλ. $224^β$.

10. Κοινωνικὰ ἕτερα· οἷον «Λύτρωσιν ἀπέστειλε» διὰ τὴν ἑορτὴν τῆς Χριστοῦ γεννήσεως, εἰς ἦχον δ'· ἕτερον ὅμοιον εἰς ἦχον βαρύν· ἕτερον ὅμοιον εἰς ἦχον α' τετράφωνον. Φύλλ. $247^β$—$248^α$. Δύο ἕτερα (Ἐξελέξατο Κύριος τὴν Σιὼν) διὰ τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ· ὅρα φύλλ. $250^β$. Ἓν ἕτερον (Ἐξηγέρθη, ὡς ὑπνῶσε) τῷ Μεγάλῳ Σαββάτῳ εἰς ἦχον α' τετράφωνον, καὶ τρία εἰς διαφόρους ἤχους διὰ τὸ Πάσχα. Ὅρα φύλλ. $252^β$, $253^β$—$254^α$. Καὶ πάλιν ἕτερον, τὸ «Ἀνέβη ὁ θεός», διὰ τὴν ἑορτὴν τῆς Ἀναλήψεως· φύλλ. $257^α$. Δύο διὰ τὴν Πεντηκοστὴν (Τὸ πνεῦμά σου τὸ ἀγαθόν)· τὸ πρῶτον εἰς ἦχον α' τετράφωνον, φύλλ. $257^β$—$258^α$. Ἓν εἰς τοὺς Ἁγίους Πάντας, τὸ «Ἀγαλλιᾶσθε δίκαιοι», εἰς ἦχον β', φύλλ. $258^β$. Δύο εἰς τὴν Μεταμόρφωσιν κατ' ἦχον α' καὶ τὸ «Ἐν τῷ φωτὶ τῆς δόξης», φύλλ. 259. Ἕτερον, τὸ «Νῦν αἱ δυνάμεις» εἰς ἦχον πλάγιον α', φύλλ. $261^α$. Τὸ «Γεύσασθε καὶ ἴδατε» διττῶς, εἰς ἦχον α' τετράφωνον καὶ εἰς ἦχον δ', φύλλ. $262^β$—$263^α$. Ὡσαύτως τὸ «Εἴη τὸ ὄνομα Κυρίου» εἰς ἦχον πλάγιον β', φύλλ. $264^β$—$265^α$.

11. Θεοτοκία 16 κατὰ διαφόρους ἤχους· ὅρα φύλλ. $267^α$—268, $274^β$—$276^β$, $276^β$—$284^α$, 293, $301^β$—$313^β$.

12. Καλοφωνικὰ μαθήματα εἰς τὴν Ὕψωσιν τοῦ Σταυροῦ, εἰς τὸν ἅγιον Δημήτριον, εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου, εἰς τὸν ἅγιον Σπυρίδωνα, εἰς Βασίλειον τὸν Μέγαν, εἰς τοὺς Τρεῖς Ἱεράρχας, εἰς τὴν Ὑπαπαντήν, εἰς τὸν Εὐαγγελισμόν, εἰς τὸν ἅγιον Γεώργιον, εἰς τὸ γενέθλιον τοῦ Προδρόμου καὶ εἰς τοὺς Ἁγίους Πάντας. Ὅρα φύλλ. $322^β$—$323^α$, $324^β$—$325^α$, $328^α$—$329^α$, $335^β$—$337^β$, 338, $341^β$—$347^α$, 348, $350^β$—$351^α$.

13. Κρατήματα 4 κατὰ διαφόρους ἤχους, φύλλ. $374^α$—$375^β$.

14. «Στιχηρόν: Νέα Ὁδός: εἰς τὸ γενέσιον τῆς ὑπεραγίας Θεοτόκου.

Ποιήματα ταῦτα πάντα τοῦ κὺρ Μανουὴλ λαμπαδαρίου τοῦ Χρυσάφη· ἐποίησε δὲ ταῦτα ἐν τῇ νήσῳ Κρήτῃ». Ἀρχ. «Στεῖρα ἄγονος». Κῶδ. 31-ος ἐν Ἱεροσολύμοις ἐν τῇ συλλογῇ Φωτίου καὶ Παρθενίου[1]).

15. «Στίχος ποιηθεὶς παρὰ Μανουὴλ τοῦ Χρυσάφη καὶ λαμπαδαρίου τῆς Μεγάλης Ἐκκλησίας· ἐποιήθη δὲ διὰ προσταγῆς καὶ ὁρισμοῦ τοῦ ἀοιδίμου καὶ μακαρίου βασιλέως Κωνσταντίνου τοῦ Παλαιολόγου». Ἀρχ. «Ἐγὼ σήμερον γεγέννηκά σε». Κῶδ. 45-ος τῆς μονῆς Ἀβραάμ[2]). Ὁ αὐτὸς στίχος καὶ ἐν τῇ ἡμετέρᾳ παπαδικῇ, φύλλ. 51.

Ἐκτὸς τῶν μουσικῶν τούτων συνθέσεων ἔγραψεν ὁ Μανουὴλ ἐξ ἐπιστημονικῆς ἐπόψεως καὶ περί τινων μουσικῶν ζητημάτων, ἰδίᾳ δὲ περὶ φθορῶν ὑπόμνημά τι λίαν ἀξιόλογον, οὗ τέλεια ἀντίγραφα ἐγίνωσκον πρότερον τέσσαρα μόνα, ἅτινα καὶ ἀπηρίθμησα ἐν τῷ πονηματίῳ μου τῷ ἐπιγεγραμμένῳ «Βυζαντινῆς ἐκκλησιαστικῆς μουσικῆς ἐγχειρίδια»[3]). Ἐσχάτως δὲ ἐγνώρισα, ὅτι καὶ ἕτερα δύο ἀντίγραφα, τὸ μὲν τοῦ 17-ου, τὸ δ' ἕτερον τοῦ 19-ου αἰῶνος, ὑπάρχουσιν ἐν τῷ Supplément Grec τῶν Παρισίων[4]). Τὸ ὑπόμνημα τοῦτο εἶναι γνωστὸν ἰδίᾳ διὰ τοῦ Τζέτζου ἔκ τινων τεμαχίων, ἅπερ αὐτὸς κατεχώρισεν ἐν τῷ οἰκείῳ βιβλίῳ Ueber die altgriechische Musik in der griechischen Kirche. München 1874, σ. 75, 122, 123, 124, 125, 126. Ἀλλ' ἐπειδὴ τοῦ ὅλου κειμένου ἡ μελέτη εἶναι πολὺ χρήσιμος, μάλιστα δὲ διὰ τὰς ἐν αὐτῷ περιεχομένας εἰδήσεις περὶ τῶν παλαιοτέρων τοῦ Χρυσάφη περιωνύμων ἐκκλησιαστικῶν μελουργῶν, ἐγὼ ἐκδίδω τοῦτο σήμερον ὁλόκληρον, ὡς ἔχει ἐν τῷ παρ' ἐμοὶ εὑρισκομένῳ ἐξαιρέτῳ ἀντιγράφῳ, ὅπερ συνίσταται ἐκ φύλλων στιλπνοῦ χάρτου 24 (μήκους 0,15, πλάτους 0,10) καὶ εἶχε γραφῇ ἔτει 1656-ῳ διά τινα Ματθαῖον, πνευματικὸν πατέρα, ὡς δείκνυσι τὸ ἐν τέλει αὐτοῦ σημείωμα. Ἑκάστη σελὶς ἀριθμεῖ 14 γραμμάς.

---

1) Κλεόπα Κοικυλίδου, Κατάλοιπα χειρογρ. Ἱεροσολ. βιβλιοθήκης, σ. 70—71.

2) Αὐτόθι σ. 147.

3) Byzantinische Zeitschrift, τ. 8, σ. 114.

4) H. Omont, Inventaire, τ. 3, σ. 313, ἀριθ. 815 καὶ 818. Ἀντίγραφον τοῦ 19-ου αἰῶνος ὑπάρχει καὶ ἐν τῷ 161-ῳ κώδικι τῆς μονῆς Παντελεήμονος. Σ. Λάμπρου Catalogue τ. 2, σ. 308.

# Κῦρ Μανουὴλ τοῦ Χρυσάφη καὶ λαμπα(δαρίου) περὶ τῶν ἐνθεωρουμένων τῇ ψαλτικῇ τέχνῃ καὶ ὧν φρονοῦσι κακῶς τινες περὶ αὐτῶν.

## Προοίμιον.

Ἐμοὶ μὲν πολλάκις κατὰ νοῦν ἐπῆλθε περὶ τῶν τῆς ψαλτικῆς τέχνης θέσεών τε καὶ φθορῶν καὶ τῆς ὁδοῦ ταύτης καὶ τῶν ἄλλων τῶν ἐνθεωρουμένων αὐτῇ συγγράψασθαί τινα οἱονεὶ ὑπόμνησιν καὶ ἁπλῶς ὑφήγησιν πάντων εἰς ὠφέλειαν μὲν τῶν τοῖς τοιούτοις μελλόντων λόγοις προσέχειν, ἀποτροπὴν δὲ τῶν ἄλλως πως φρονούντων περὶ αὐτῆς· οἳ φιλοτιμούμενοι ἐπὶ τῷ ψάλλειν εἰδέναι καὶ ἐπιστήμονες εἶναι τῆς ψαλτικῆς οὔτ' αὐτοὶ ἴσασιν ἐφ' οἷς φιλοτιμοῦνται καὶ προσδιαφθείρουσιν, εἴ τις αὐτοῖς ὡς εἰδόσιν ἐθέλοι προσέχειν, διὰ τὸ μὴ μετ' ἐπιστήμης ἀκριβοῦς τε καὶ ἀπταίστου τὴν τοιαύτην μετέρχεσθαι τέχνην. ἀλλ' ὁσάκις τοῦτο κατὰ νοῦν ἐβαλόμην, τοσαυτάκις ἐξεκρούσθην τοῦ ἐγχειρήματος, ἄλλου ἐπ' ἄλλῳ πρὸς ἑαυτό με ἀνθέλκοντος καὶ πολλῶν περικυκλούντων ὁσημέραι φροντίδων, αἳ τοιαῦτα ἐκπονεῖν ἐπέτρεπον οὐδαμῶς. ἐπεὶ δ' ὁ ἐν ἱερομονάχοις Γεράσιμος, τῶν ἡμετέρων μαθητῶν τυγχάνων σπουδαῖός τέ ἐστι καὶ φιλομαθὴς καὶ τῶν καλῶν οὐδέν τι παραδραμεῖν αὐτὸν βούλεται, πολὺ τὸ ἐπικρατοῦν ὁρῶν ἄτεχνον καὶ αὐτὸς καὶ τὴν ἐνίων ἀμάθειαν κινδυνεύουσαν τῆς ἄλλων ἐπιστήμης δόξαι προτιμοτέραν, σφοδρῶς ἔγκειται ἀπαιτῶν τινας κανόνας παρ' ἡμῶν, οἷς ἑπόμενος αὐτός τε ἂν ἔχοιτο τοῦ ἀπταίστου καὶ τοῖς ἄλλοις, εἴπου δεήσειεν, ὑφηγητὴς τοῦ ὀρθοῦ γίνοιτο λόγου καὶ οὔ φησιν ἀνήσειν ἡμᾶς, ἕως ἂν αὐτῷ τὴν αἴτησιν ἐκπληρώσαιμεν, σὺν αὐτῷ δ' οὐδὲν ἧττον καὶ ἄλλοι πολλοὶ τῆς αὐτῆς αὐτῷ προαιρέσεως ὄντες καὶ τὰ αὐτὰ σπουδάζοντες μετὰ τῆς ἴσης ἐπιμονῆς τε καὶ προσεδρίας τῆς ἴσης ἀξιώσεως ἔχονται, καλὸν ἔδοξεν εἶναί μοι μὴ σιωπᾶν, μηδὲ τὴν αἴτησιν αὐτῶν ἀργὴν καταλιπεῖν, μηδέν τι ἀνύσασαν, ἀλλὰ πάντα ἁπλῶς ὑπεριδόντα τὰ ἄλλα ἔργου ἔχεσθαι ἤδη καὶ τὸν ὀρθὸν τῆς ἐπιστήμης ὑφηγεῖσθαι λόγον αὐτοῖς· ἄλλως γὰρ οὔτ' ἂν συμφέροντα ἐποίουν καὶ τὸ τῆς ὑπεροψίας οὐκ εἶχον ὅπως ἔγκλημα διαφύγω, τοσούτων καὶ τηλικούτων ἐρεθιζόντων πρὸς τὴν σπουδήν. ἃ μὲν οὖν μοι τὸν παρόντα πεποίηκε λόγον, ταῦτά ἐστιν· ἔργου δὲ ἤδη ἐχόμενοι, περὶ αὐτῶν ἀρξάμενοι λέγωμεν. ἀλλ' οἱ ἀμαθῶς καὶ ἀνεπιστημόνως ποιοῦντες πήματα καὶ κρίσιν ἐξάγοντες περὶ τούτων, οἷα τοὺς τοιούτους ἐξάγειν εἰκός, καὶ διδάσκοντες ἐν πλάνῃ, μὴ εἰδότες ὃ λέγουσι, ποιείτωσαν μὲν ἅπερ καὶ βούλονται — τῳόντι γὰρ οὐδὲν ζημιοῦσιν

ἐντεῦθεν, πλὴν ἑαυτούς—, ἡμεῖς δὲ φέρε τὴν ἀλήθειαν ἧς προϊστάμεθα τέχνης πᾶσιν ὑποδείξωμεν ἐναργῶς καὶ ὅσον οἷόν τε διὰ βραχέων, θεὸν τοῦ λόγου προβαλλόμενοι μάρτυρα τοῦ μηδέν τι κατὰ πάθος λαλεῖν, αὐτὴν δὲ τὴν ἀλήθειαν ἐν πᾶσί τε τοῖς ἄλλοις κἀπὶ τοῦ παρόντος τιμῶντας λέγειν ὅσα δὴ καὶ φαμέν.

Τοίνυν ψαλτικὴ ἐπιστήμη οὐ συνίσταται μόνον ἀπὸ παραλλαγῶν, ὡς τῶν νῦν τινες οἴονται, ἀλλὰ καὶ δι' ἄλλων πολλῶν τρόπων, οὓς αὐτίκα λέξω διὰ βραχέων. τὸ γὰρ τῆς παραλλαγῆς χρῆμα κατὰ τὴν ψαλτικὴν τὸ εὐτελέστερον τῶν ἐν αὐτῇ πάντων καὶ εὐκολώτατον· κἂν εἴποι τις, ὡς μέλος ἐποίησα καὶ κατὰ τὰς φωνάς ἐστιν ἀνενδεές, οὐδὲ μιᾶς ἀπούσης, ἥνπερ ἔδει παρεῖναι καὶ τὸ ὀρθὸν εἶναι καὶ ὑγιὲς ὄντως ἀπὸ παραλλαγῶν, κακῶς φρονεῖν τε καὶ λέγειν ἡγητέον τὸν τοιοῦτον καὶ ἔξω τοῦ τῆς ἐπιστήμης ὀρθοῦ λόγου· διατίθεται γὰρ φαύλως περὶ αὐτήν, καὶ ἅπερ οὐκ οἶδε ταῦτα λαλεῖ ὑπ' ἀμαθίας καὶ τοῦ μὴ ἐθέλειν δοκεῖν μεταμαθεῖν τὴν ἀλήθειαν, δι' ἀμέλειαν ἴσως καὶ τὸ ὑπερήφανος εἶναι καί τις τῶν κενοδόξων· ἔχει γὰρ ἀνεπιγνώστως, ἵν' οὕτως εἴπω, καὶ ἀνεπιστημόνως τὸ κατὰ τὸ ψάλλειν ἐνεργεῖν καὶ λόγου παντὸς ἐκτὸς μελῳδῶν ὡς τῶν ἰδιωτῶν τις, ἑπόμενος τῇ τοῦ μέλους ἀλόγως ἠχῇ. ἐπεί, εἰ (ὅπερ ὁ τοιοῦτος ὑπ' ἀμαθίας ἴσως ἐρεῖ) τὸ ὀρθὸν εἶχε μεθ' ἑαυτοῦ, οὐδεμία ἦν χρεία οὐδ' ἀνάγκη τοῦ τὸν μὲν Γλυκὺν Ἰωάννην πεποιηκέναι τὰς μεθόδους τῶν κατὰ τὴν ψαλτικὴν θέσεων, τὸν δὲ μαΐστορα Ἰωάννην τὸν μετ' αὐτὸν ἑτέραν μέθοδον καὶ τὰ σημάδια ψαλτά, εἶτα μετ' αὐτὸν τὸν Κορώνην τὰς ἑτέρας μεθόδους τῶν κρατημάτων καὶ τὴν ἑτέραν τῶν στιχηρῶν· ἔδει γὰρ τούτους λοιπὸν καὶ τοὺς ἄλλους ἅπαντας ἀρκεῖσθαι ταῖς παραλλαγαῖς μόναις καὶ μηδέν τι περαιτέρω πολυπραγμονεῖν, μηδὲ περιεργάζεσθαι μήτε περὶ θέσεων, μήθ' ὁδοῦ, μήτ' ἄλλης ἡστινοσοῦν ἰδέας τεχνικῆς. γίνωσκε γὰρ ὅτι τὰς προειρημένας τῶν θέσεων μεθόδους οὐκ ἐποίησαν οἱ τοιοῦτοι διὰ τὸ ψάλλειν αὐτὰς ὡς μαθήματα, ἀλλ' ὥσπερ ὅρον τινὰ συντεθέντες καὶ νομοθετοῦντες ἐκεῖνοι δῆλοί εἰσι μὴ ἀρνούμενοι κατὰ τὴν ψαλτικὴν μόναις ταῖς λεγομέναις παραλλαγαῖς μηδὲ τοὺς ὑστέρους ἡμᾶς ἀρκεῖσθαι βουλόμενοι. καὶ διὰ τοῦτο ποιοῦντες ἅπερ φθάσαντες εἰρήκαμεν, ἵνα πρὸς αὐτὰ βλέποντες οἱ μετ' αὐτοὺς ὡς πρός τι παράδειγμα αὐτοί τε μὴ ἔχοιεν ὑπερβαίνειν τοὺς τοιούτους ὅρους τε καὶ κανόνας καὶ τοῖς λοιποῖς ἅπασιν, ὅσοι δὴ καὶ βούλονται κατὰ τὸ ψάλλειν ἐνεργεῖν, τῶν τοιούτων ὑφηγηταὶ γίνοιντο.

Ἐρώτησις. Τί ἐστι θέσις;

Ἀπόκρισις. Θέσις λέγεται ἡ τῶν σημαδίων ἕνωσις, ἥτις ἀποτελεῖ τὸ μέλος· καθὼς γὰρ ἐν τῇ γραμματικῇ τῶν εἰκοσιτεσσάρων στοιχείων ἕνωσις

συλλαβηθεῖσα ἀποτελεῖ τὸν λόγον, τὸν αὐτὸν τρόπον καὶ τὰ σημάδια τῶν φωνῶν ἑνοῦνται ἐπιστημόνως καὶ ἀποτελοῦσι τὸ μέλος, καὶ λέγεται τὸ τοιοῦτον τότε θέσις. ἀλλὰ μηδὲ τὸν δρόμον, ὦ οὗτος, τῆς μουσικῆς ἁπάσης τέχνης καὶ τὴν μεταχείρισιν ἁπλῆν τινα νομίσῃς καὶ μονοειδῆ, ὥστε τὸν ποιήσαντα στιχηρὸν καλοφωνικὸν μετὰ θέσεων ἁρμοδίων, μὴ μέντοι γε καὶ ὁδὸν τηρήσαντα στιχηροῦ, καλῶς ἡγεῖσθαι τοῦτον πεποιηκέναι καὶ τὸ ποιηθὲν ὑπ' αὐτοῦ καλὸν ἁπλῶς εἶναι καὶ μώμου παντὸς ἀνεπίδεκτον· ἐπεί, εἰ καὶ μεταχείρισιν στιχηροῦ τὸ ὑπ' αὐτοῦ γινόμενον οὐκ ἔχει, τῳόντι οὐκ ἔστιν ἀνεπίληπτον. μὴ τοίνυν νόμιζε ἁπλῆν εἶναι τὴν τῆς ψαλτικῆς μεταχείρισιν, ἀλλὰ ποικίλην τε καὶ πολυσχιδῆ καὶ πολύ τι διαφέρειν ἀλλήλων. γίνωσκε γὰρ ὅτι τὰ στιχηρὰ καὶ τὰ κρατήματα καὶ τὰ κατανυκτικὰ καὶ τὰ μεγαλυνάρια καὶ οἱ οἶκοι κατὰ τὰς μεταχειρίσεις αὐτῶν καὶ τὰ λοιπά, περὶ ἃ ἡ τέχνη καταγίνεται· ἄλλη γὰρ ὁδὸς καὶ μεταχείρισις στιχηροῦ καὶ ἄλλη κατανυκτικοῦ καὶ ἑτέρα κρατήματος· ἄλλη χερουβικοῦ καὶ ἀλληλουϊαρίου ἑτέρα. ἔνθεν τοι κἀν τοῖς καλοφωνικοῖς στιχηροῖς οἱ τούτων ποιηταὶ τῶν κατὰ τὰ ἰδιόμελα μελῶν οὐκ ἀπολείπονται, ἀλλὰ κατ' ἴχνος ἀκριβῶς ἀκολουθοῦσιν αὐτοῖς καὶ αὐτῶν μέμνηνται. ὡς γοῦν ἐν μέλεσι διὰ μαρτυρίαν τῶν ἐκεῖσε κειμένων μελῶν ἔνια παραλαμβάνουσιν ἀπαραλλάκτως, καθάπερ δὴ καὶ ἐν τῷ στιχηραρίῳ ἔκκεινται, καὶ τὸν ἐκεῖσε πάντα δρόμον παρ' ὅλον τὸ ποίημα τρέχουσιν ἀμετατρεπτί, καὶ τῷ τροπαρίῳ τῶν ποιητῶν ἀεὶ ὁ δεύτερος ἕπεται καὶ τούτῳ ὁ μετ' αὐτόν, καὶ πάντες ἁπλῶς ἔχονται τῆς τῆς τέχνης ὁδοῦ. ὅτι δὲ ταῦθ' οὕτως ἔχει, καθάπερ ἐγώ φημι νῦν, δῆλον ἐντεῦθεν. ὁ γὰρ χαριτώνυμος μαίστωρ, ὁ Κουκουζέλης, ἐν τοῖς ἀναγραμματισμοῖς αὐτοῦ τῶν παλαιῶν οὐκ ἐξίσταται στιχηρῶν, ἀλλὰ κατ' ἴχνος ἀκολουθεῖ, δυνάμενος ἂν πάντως καὶ αὐτός, ὡς οἱ νῦν, καὶ πολὺ μᾶλλον εἴπερ οὗτοι, μέλη μόνα ποιεῖν ἴδια, μηδέν τι κοινωνοῦντα τοῖς πρωτοτύποις αὐτῶν στιχηροῖς. ἀλλ' εἰ οὕτως ἐποίει, οὔτε καλῶς ἂν ἐποίει, οὔτε τῆς ἐπιστήμης προσηκόντως ἐπαίειν ἐδόκει. διὸ καὶ κατὰ ἀκρίβειαν τοῦ τῶν παλαιῶν στιχηρῶν ἔχεται δρόμου καὶ αὐτῶν οὐ πάνυ τι ἐξίσταται, τοῖς τῆς ἐπιστήμης νόμοις πειθόμενος. κἀν τοῖς κατανυκτικοῖς τὸν πρὸ αὐτοῦ τῇ τέχνῃ ἐνευδοκιμήσαντα μιμεῖται ὁ μετ' αὐτόν, καὶ ἐν τοῖς κρατήμασι καὶ τοῖς μεγαλυναρίοις ὁμοίως· ἀλλὰ καὶ ἐν τοῖς χερουβικοῖς ὕμνοις, κομματιαστῶν τῶν ἐν αὐτοῖς μελῶν ὄντων, εὕροι τις ἂν τοὺς πάντας ποιητὰς σκοπούμενος ἀκριβῶς ἐπίσης τε χρωμένους αὐτοὺς καὶ συμφωνοῦντας ἀλλήλοις. οὐ μὴν δὲ ἀλλὰ κἀν τῷ μεγάλῳ ἑσπερινῷ τῷ αὐτῷ χρῶνται κανόνι καὶ τῇ αὐτῇ συνηθείᾳ, κἀν τῷ πολυελέῳ καὶ τοῖς ἀντιφώνοις λεγομένοις καὶ τοῖς οἴκοις ὁμοίως. τῶν οἴκων δέ γε πρῶτος ποιητὴς ὁ Ἀνεώτης ὑπῆρξε καὶ δεύτερος ὁ Γλυκύς, τὸν Ἀνεώτην μιμού-

μενος· ἔπειτα τρίτος ὁ Ἠθικὸς ὀνομαζόμενος, ὡς διδασκάλοις ἑπόμενος τοῖς εἰρημένοις δυσί, καὶ μετὰ πάντας αὐτοὺς ὁ χαριτώνυμος Κουκουζέλης, ὃς καὶ μέγας τῳόντι διδάσκαλος ἦν. εἵπετο δ' οὖν ὅμως κατ' ἴχνος αὐτοῖς καὶ οὐδέν τι τῶν ἐκείνοις δοξάντων καὶ δοκιμασθέντων καλῶς δεῖν ᾤετο καινοτομεῖν. διὸ οὐδὲ ἐκαινοτόμει. ὁ δὲ λαμπαδάριος Ἰωάννης τούτων ὕστερος ὢν καὶ κατ' οὐδὲν ἐλαττούμενος τῶν προτέρων, καὶ αὐταῖς λέξεσι γράφων ἰδίᾳ χειρί, ἔφη· «Ἀκάθιστος ποιηθεῖσα παρ' ἐμοῦ Ἰωάννου λαμπαδαρίου τοῦ Κλαδᾶ, μιμουμένη κατὰ τὸ δυνατὸν τὴν παλαιὰν ἀκάθιστον». καὶ οὐκ ᾐσχύνετο γράφων οὕτως, εἰ μὴ μᾶλλον καὶ ἐσεμνύνετο καὶ τοῖς λοιποῖς ὥσπερ ἐνομοθέτει διὰ τοῦ καθ' ἑαυτὸν ὑποδείγματος τοῦ τῶν παλαιοτέρων ζήλου μηδόλως ἐξίστασθαι, μηδὲ καινοτομεῖν τι παρὰ τὰ καθάπαξ δόξαντα καλῶς ἔχειν αὐτοῖς. καὶ καλῶς γε ποιῶν ἐκεῖνός τε οὕτως ἐφρόνει καὶ φρονῶν ἔλεγε, καὶ λέγων οὐκ ἐψεύδετο, ἀλλὰ τοὺς παλαιοὺς ἐμιμεῖτο τῶν ποιητῶν, τοὺς τῇ ἐπιστήμῃ ἐνδιαπρέψαντας. καὶ ἡμᾶς, εἴ γε μὴ μέλλοιμεν τῆς ἀληθείας καὶ τῆς κατ' ἐπιστήμην ἀκριβείας διαμαρτάνειν, ποιεῖν οὕτω προσήκει καὶ ποιοῦντας μέμψαιτ' ἂν ὀρθῶς οὐδὲ εἷς, εἰ μὴ μᾶλλον καὶ ἐπαινέσειεν. εἰ δὲ κἀγὼ ταῦτα ποιῶ, τῆς τῶν παλαιῶν μιμήσεως οὐκ ἀφίσταμαι, οὐδ' ἐκστήσομαι, ἕως ἂν περὶ τῶν τοιούτων ὑγιαίνοντι κριτηρίῳ δύνωμαι χρῆσθαι. ἐγὼ μὲν οὐκ ἂν εἴποιμι, τὴν ἀλαζονείαν καὶ τὸν τῦφον ἀποπεμπόμενος, ἄλλοι δέ, οἷς τούτων ἐμέλησε καὶ ἡ ἀλήθεια παρὰ πάντα πεφίληται, κρινοῦσί τε καὶ ἐροῦσιν. εἶδες, ὡς οἱ πρὸ ἡμῶν διδάσκαλοι πάντες σύμφωνοι ἦσαν ἀλλήλοις καὶ ἑαυτοῖς καὶ οὐδὲν ἐν οὐδενὶ διεφέροντο, τῷ πρωτοτύπῳ κανόνι τῆς ἐπιστήμης ἑπόμενοι;

Ἀλλ' ἐπεὶ ταῦθ' ἱκανῶς εἴρηται, καὶ περὶ τῶν τῆς ψαλτικῆς λοιπῶν κεφαλαίων διαληψώμεθα. ταῦτα δὲ τὸν ἀριθμόν εἰσιν ἕξ, οὐ παρὰ πᾶσι γινωσκόμενα, πᾶσι δὲ ὀφειλόμενα γινώσκεσθαι, τοῖς γε τῆς ἐπιστήμης ταυτησὶν ἀντιποιουμένοις. πρῶτον οὖν ἐστι τὸ ποιεῖν τινα θέσεις προσηκούσας καὶ ἁρμοδίας, ἑπόμενον τῷ ὅρῳ τῆς τέχνης· δεύτερον τὸ μὴ ἐγκύπτειν τῷ βιβλίῳ καὶ ὁρᾶν, ἀλλὰ καὶ χωρὶς βιβλίου γράφειν ἀσφαλῶς καὶ ὡς ἡ τέχνη βούλεται, εἴ τι ἄν τις ἐπιτάξειε· τρίτον τὸ ἀμελετήτως μὴ προδιασκεψάμενον, ἀλλ' ἅμα τῷ θεάσασθαι δύνασθαι παντοῖα ψάλλειν μαθήματα, παλαιά τε καὶ νέα, τοῦ ἀπταίστου πάντῃ πάντως ἐχόμενον· τέταρτον τὸ ψάλλειν μὲν ἄλλον, αὐτὸν δὲ τὸ ψαλλόμενον γράφειν τε καὶ ψάλλειν ὁμοίως ἐκείνῳ· πέμπτον τὸ παντοῖα ποιεῖν μαθήματα ἴδια, ἢ οἴκοθεν κινούμενον, ἢ καὶ ἐξ ἑτέρων ἐπιτάγματος καὶ μετὰ μελέτης καὶ ταύτης ἐκτός· ἕκτον ἡ τῶν ποιημάτων κρίσις ἐστίν. ἴσως μὲν καὶ τὸ δύνασθαι κρίνειν τὸ ποιηθέν, καθ' ὅ τι τε καλῶς ἂν ἔχοι καὶ ἀσφαλῶς καὶ καθ' ὅ τι μή, ἴσως δὲ καὶ τὸ δύνασθαι γνωρίζειν ἀπὸ μόνης ἀκοῆς τὸ τοῦδέ τινος

ποίημα· ὅπερ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ. τούτων τῶν εἰρημένων ἓξ κεφαλαίων ὁ τὴν ἐπιστήμην ἔχων καὶ δυνάμενος, ὡς ἡ τέχνη βούλεται, χρῆσθαι αὐτοῖς, διδάσκαλος τέλειος ὢν λοιπὸν ποιείτω τε ποιήματα καὶ γραφέτω καὶ διδασκέτω καὶ ψήφους κρίνων ἐξαγέτω περὶ τῶν οἰκείων καὶ ὧν ἄλλοι ποιοῦσι, μᾶλλον δὲ περὶ τούτων· τὰ γὰρ ἴδια αὐτὸς μὲν ἀκολουθῶν τῇ τέχνῃ συνθήσει, τὴν δὲ περὶ αὐτῶν ἕξουσιν ἕτεροι ψῆφον, διὰ τὸ τὴν εὔνοιαν πεφυκέναι μὴ ἀδεκάστους ἐξάγειν τὰς ψήφους, αὐτὸν δὲ εὔνως ἔχειν τοῖς ἑαυτοῦ, κἂν ὁποῖα τύχωσιν ὄντα. ὁ δὲ μήτε τὴν ἐπιστήμην αὐτῶν ἔχων, μήτε διὰ τοῦτο δυνάμενος χρῆσθαι αὐτοῖς, σιγάτω λοιπόν, τοῦτο βέλτιον τοῦ μὴ σιγᾶν ἡγησάμενός τε καὶ ἀσφαλέστερον· ἤ, εἰ μὴ σιγᾶν βούλοιτο—τοῦτο δὲ δήπουθεν ἐξέσται τῷ βουλομένῳ παντί—, ἀλλὰ μὴ κρίνειν τὰ ἑτέρων ἐπιχειρήτω, εἰδὼς ὡς οὐδένα δυνήσεται πείσειν φαῦλον, ὡς αὐτός ἐστιν, ἑκοντὶ γίνεσθαι καὶ νομίζειν ἅπερ αὐτὸς νενόμικε. περὶ μὲν δὴ τούτων ἀρκεῖ τοσαῦτα· λοιπὸν δ' ἡμῖν ὁ περὶ τῶν φθορῶν λόγος. ἀλλ' ὡς ἂν τοῖς πᾶσιν εὔληπτος ᾖ, πρὸς τὸ ἁπλούστερον καὶ ἀσφαλέστερον αὐτὸν μεθοδεύσωμεν. ἔχει δὲ οὕτως.

Ἐρώτησις. Τί ἐστι φθορὰ καὶ διατί τίθεται, καὶ εἰς ποῖον ἦχον καταλήγει μία ἑκάστη τῶν φθορῶν;

Ἀπόκρισις. Φθορά ἐστι τὸ παρ' ἐλπίδα φθείρειν τὸ μέλος τοῦ ψαλλομένου ἤχου καὶ ποιεῖν ἄλλο μέλος καὶ ἐναλλαγὴν μερικὴν ἀπὸ τοῦ ψαλλομένου ἤχου εἰς ἄλλο ποιεῖν. εἶτα πάλιν, λυομένης τῆς φθορᾶς, ψάλλεται ὁ προψαλλόμενος ἦχος εἰς τὴν ἰδέαν αὐτοῦ, καθὼς καὶ πρὸ τῆς φθορᾶς· οὐκ ἐναλλάττεται γὰρ τοῦ κατ' ἀρχὰς ψαλλομένου ἤχου τὸ μέλος καὶ ἡ ἰδέα εἰς ἄλλον ἦχον χωρὶς φθορᾶς· ὃ τοιοῦτον ἐστί. ψάλλεται κατ' ἀρχὰς πρῶτος ἦχος· σοῦ δὲ ποιοῦντος ἐναλλαγὴν εἰς δεύτερον ἦχον, ἢ εἰς τρίτον, ἢ εἰς τέταρτον καὶ καθεξῆς, οὐ λέγω τοῦτο ἔτι φθοράν, ἐπειδὴ φωνὰς τελείας ἐξέρχῃ· ἀπὸ μὲν γὰρ τοῦ πρώτου, εἰ ἐξέλθῃς μίαν φωνήν, εὑρίσκεις δεύτερον κατὰ πάντα· εἰ δὲ δεύτερον, τρίτον· εἰ δὲ τρίτον, τέταρτον καὶ καθεξῆς, καὶ τοῦτό ἐστιν ἀπὸ παραλλαγῶν. πῶς οὖν εἰκὸς ἂν εἴη φθορὰν τοῦτο εἰπεῖν ἢ μή; ὅτε ψάλλεται ὁ πρῶτος ἦχος κατὰ λόγον καὶ ἔστιν εἰς τὴν ἰδέαν αὐτοῦ καὶ σὺ θέλεις ποιῆσαι τὴν φύσιν αὐτοῦ εἰς δεύτερον ἢ εἰς τέταρτον ἦχον, τὸ τοιοῦτον λέγεται φθορὰ τότε· ἐπεί, εἰ μὴ οὐ θήσεις φθοράν, οὐ καταλαμβάνεται ὅτι ἐγένετο ἐναλλαγὴ τοῦ ἤχου· τοῦτο γὰρ κατὰ ἀκρίβειαν εὕρομεν ἐν τοῖς πρὸ ἡμῶν διδασκάλοις. ὅταν οὖν μέλλῃ ὁ τεχνίτης ποιήσειν ἐναλλαγὴν τοῦ μέλους μετὰ φθορᾶς, τότε τίθησι τὴν φθορὰν εἰς τὸν πρέποντα τόπον ὥσπερ σύμβολόν τι προσημαῖνον τὴν ἐναλλαγὴν τοῦ ἤχου καὶ τοῦ μέλους· καὶ ἀπὸ τότε, φθειρομένου τοῦ μέλους λεπτομερῶς, ποιεῖ ἴδιον μέλος ἡ φθορά, μέχρις ὅτου εὕρῃ τὴν ἀνάπαυσιν

αὐτῆς, ἤγουν[1]) τὴν κατάληξιν, καὶ μετὰ ταῦτα πάλιν ἀνέρχεται τὸ μέλος τοῦ προψαλλομένου ἤχου εἰς τὴν ἰδέαν καὶ φύσιν αὐτοῦ, λυομένης τῆς φθορᾶς καθὼς προειρήκαμεν.

Περὶ τῆς τοῦ πρώτου ἤχου φθορᾶς. ☉

Εἰ μὲν οὖν θήσει τις εἰς μάθημα ψαλλόμενον τοῦ οἱουδήτινος ἤχου πρώτου ἤχου φθοράν, νόει ὅτι προκατασκευή ἐστι τοῦ βαρέος ἤχου ἢ δι' ὀλίγον, ἢ εἰς πλάτος· οὐ καταλήγει γὰρ εἰς ἄλλον ἦχον τοῦ προειρημένου ἤχου ἡ φθορά, εἰ μὴ εἰς τὸν βαρύν, καθὼς ποιεῖ καὶ διδάσκει τοῦτο ὁ μουσικώτατος μαΐστωρ, ὁ Ἰωάννης, εἰς τὸ Πικρῶς κατεθερίζετο ἐν τῷ Μητέρες ἠτεκνοῦντο, καὶ παρακατιὼν πάλιν εἰς τὸ Μέγα ἦν τὸ δεινὸν καὶ ἀλλαχοῦ· καὶ μετ' αὐτὸν Ξένος ὁ Κορώνης εἰς τὸ τοῦ Ἱνατί ἐφρύαξαν κράτημα (τίθησι γὰρ ἐκεῖ τὴν φθορὰν τοῦ πρώτου, καὶ κατερχομένου τοῦ μέλους, ἀντὶ τοῦ εὑρεῖν ἀπὸ παραλλαγῶν τὸν μέσον τοῦ τετάρτου ἤχου, εὑρίσκεις βαρὺν ἦχον), καὶ μετ' αὐτὸν ὁ χαριτώνυμος λαμπαδάριος εἰς τὸ κράτημα, ὃ ἔχει τὸ Πολλάκις τὴν ὑμνῳδίαν· εἰς τὸν ἀπὸ παραλλαγῶν γὰρ ἦχον τέταρτον ἐκεῖ τίθησι τὴν φθορὰν τοῦ πρώτου, καὶ ἀντὶ τοῦ κατελθεῖν καὶ αὐτὸς ἀπὸ παραλλαγῶν τὸν μέσον τοῦ τετάρτου ἤχου, κατέρχεται βαρύν, καθὼς ζητεῖ ἡ φθορὰ καὶ πρέπον ἐστίν. ἀλλὰ καὶ εἰς τοὺς οἴκους τῆς Ἀκαθίστου περὶ τὰς ἀρχὰς οὕτως γίνεται· ὅμως δὲ κατασκευάζει ἡ φθορὰ αὕτη καὶ καταλήγει εἰς τὴν φύσιν τοῦ ἤχου αὐτῆς καὶ τοῦ πλαγίου πρώτου· ὅπερ ταὐτόν ἐστι, καθὼς ποιοῦσι πάλιν οἱ πρὸ ἡμῶν ἐπιστήμονες εἰς τοὺς προρρηθέντας οἴκους περὶ τὰς ἀρχάς. ποιεῖ δὲ τοῦτο καὶ Λέων ὁ Ἁρμυριώτης εἰς τὸ στιχηρὸν τῶν Ἁγίων Παθῶν, τὸ Ὅτε τῷ σταυρῷ, εἰς τὸν δεύτερον πόδα τὸ Ἐβόα πρὸς αὐτούς. εἰς τὸν ἀπὸ παραλλαγῆς τέταρτον ἦχον εἰς τὸ Πρὸ ἐμοῦ τίθησι τὴν φθορὰν τοῦ πρώτου καὶ γίνεται ὁ ἀπὸ παραλλαγῶν τέταρτος ἦχος πρῶτος καὶ κατέρχεται μέχρι τέλους εἰς τὴν αὐτὴν τάξιν· τὸ ἀπὸ παραλλαγῶν γὰρ μέλος τηρεῖται ἀλώβητον ἀπ' ἀρχῆς μέχρι τοῦ εὑρεθῆναι τὴν τοῦ πρώτου φθοράν. ἀπὸ δὲ τῆς φθορᾶς τούτου συστέλλεται τοῦ τετάρτου μέλους ἡ ἰδέα καὶ ἡ παραλλαγὴ αὐτοῦ, καὶ ποιεῖ ἴδιον μέλος ἡ φθορὰ καὶ παραλλαγὴν ἄλλην. ὁμοίως καὶ ὁ Ἠθικὸς τοῦτο ποιεῖ εἰς τὸ Ὁ συμμαχήσας κύριε, καὶ Συμεὼν ὁ Ψυρίτζης εἰς τὸ τῶν Ἁγίων Πάντων στιχηρόν, τὸ Ἄγγελοι ἐν οὐρανοῖς· ὁμοίως καὶ ἄλλοι πολλοὶ εἰς ἄλλα. ἀλλὰ καὶ ἐγὼ ὁμοίως ποιῶ εἰς τὸ Μετὰ δακρύων γυναῖκες· ἂν γάρ τις θῇ πρώτου ἤχου φθορὰν καὶ καταλήξῃ εἰς φύσιν ἄλλου ἤχου, οἵαν ἂν θέλῃ, οὐ μὴν δὲ εἰς βαρὺν ἢ πλάγιον πρώτου, καθὼς προειρήκαμεν, τοῦτο οὐκ ἔστιν ἔντεχνον, ἀλλὰ πάνυ ἄτεχνον καὶ

1) Ἐν τῷ κώδικι ἤως.

ἔξω τῆς ἀληθείας. διὰ τοῦτο γοῦν οὐκ ἔχει ὁ βαρὺς ἢ ὁ πλάγιος α′ φθοράν, ἐπειδὴ πληροῖ τὸ τούτων ὑστέρημα ἡ φθορὰ αὕτη. εἰ δὲ καὶ εὑρίσκονται ἔν τισι παλαιοῖς βιβλίοις καὶ τούτων τῶν ἤχων φθοραί, ἀλλ᾽ οὐκ ἐχρήσαντο ταύταις οἱ μεγάλοι διδάσκαλοι, οἱ πρὸ ἡμῶν, ἀλλ' οὐδὲ ἡμεῖς χρησόμεθα ταύταις, καθὼς εὑρίσκεται καὶ τοῦ πλαγίου τετάρτου φθορὰ εἰς γραψίματα ἀμαθῶν, καὶ οὐκ ἔχει καὶ αὐτὴ χρῆσιν, ἐπεὶ ἡ τοῦ νανὰ φθορὰ λέγεται φθορὰ πλαγίου τετάρτου.

Περὶ τῆς τοῦ δευτέρου ἤχου φθορᾶς. ♁

Εἰ δὲ δευτέρου ἤχου φθορὰν θῇς, νόει ὅτι λύσις ἐστὶ τοῦ μέλους τῆς νενανῶ φθορᾶς, ἢ δεσμὸς πρὸ ὀλίγου, ἢ καὶ εἰς πλάτος. καὶ εἰ μὲν λύσις ἐστὶ τοῦ νενανῶ, μνήσθητι ὅτι εἰς ἓν κράτημα τοῦ Κορώνη, εἰς τοὺς δευτέρους, οὗ ἡ ἀρχὴ

,

γίνεται ἀπὸ μέλους ὁ τρίτος νενανῶ, ἑλκόμενος παρὰ τῆς φθορᾶς. εἶτα, θέλοντος τοῦ ποιητοῦ λῦσαι αὐτόν, τίθησιν ἔμπροσθεν τοῦ δευτέρου ἤχου φθορὰν καὶ πάλιν ἀνέρχεται τὸ μέλος τοῦ δευτέρου ἤχου εἰς τὴν ἰδέαν αὐτοῦ. ὁμοίως καὶ ὁ λαμπαδάριος Ἰωάννης εἰς τοῦ δευτέρου τὸ ἑαυτοῦ κράτημα τὸ μέγα· εἰς δὲ τὸν καλοφωνικὸν στίχον τὸ Οὐδὲ γάρ ἐστι πνεῦμα ποιεῖ ὁ χαριτώνυμος μαΐστωρ οὕτως. τίθησιν ἐκεῖ δευτέρου ἤχου φθορὰν περὶ τὰ μέσα, εἰς τὸ Ἔργα χειρῶν ἀνθρώπων, καὶ πρῶτον λύει τὴν νενανῶ φθοράν, εἶτα δεσμοῖ καὶ μετὰ ταῦτα καὶ πλατύνεται ἐντέχνως, ὑποδεικνύουσα τὴν ἐνέργειαν αὐτῆς. εἰ δὲ διὰ δεσμὸν τέθειται ἡ φθορὰ αὕτη, γίνεται οὕτως. ὁ πρῶτος ἦχος πολλάκις τετραφωνῶν γίνεται δεύτερος ἀπὸ μέλους. ποιεῖ δὲ τοῦτο ἡ τῆς τοῦ δευτέρου ἤχου φθορᾶς δύναμις. εἰ γὰρ μὴ ἐτίθετο φθορὰ εἰς τὸν πρῶτον, κατήρχετο εἰς τὸν μέσον αὐτοῦ τὸν βαρύν. ἀλλὰ διὰ τοῦτο τίθεται ἡ φθορὰ ἢ ὁ ἦχος, καὶ ἀντὶ τοῦ βαρέος δεσμοῖ τὸ μέλος καὶ γίνεται μέσος τοῦ δευτέρου οὕτως·



ὁ δὲ θαυμασιώτατος Ἰωάννης ὁ λαμπαδάριος εἰς τὴν Ἀκάθιστον ποιεῖ τὸν τέταρτον ἦχον δεύτερον, εἰς τὸ Ἔχουσα θεοδόχον, παρακατιὼν εἰς τὸ Ἡ παρθένος τὴν μήτραν. τίθησιν ἐκεῖ εἰς τὸν τετραφωνοῦντα τέταρτον τὴν φθορὰν τοῦ δευτέρου καὶ γίνεται εὐκόλως δευτέρου ἤχου μέλος. ὁμοίως καὶ εἰς τὸ Νέαν ἔδειξε κτίσιν. εἰς τὸ Ἐμφανίσας ὁ κτίστης ποιεῖ τὸ αὐτὸ πάλιν. ἡ κατάληξις γοῦν ταύτης τῆς φθορᾶς καὶ ἡ ἀνάπαυσίς ἐστιν ὁ μέσος τοῦ δευτέρου, ὁ πλάγιος τέταρτος. πλὴν οὐ κατέρχεται ἁπλῶς εἰς

τὸν πλάγιον τέταρτον, ἀλλὰ δεσμεῖται παρὰ τῆς φθορᾶς καὶ λέγεται ἔσω δεύτερος· εἰ γὰρ μὴ ἐδεσμεῖτο ὁ πλάγιος τέταρτος, τίς ἡ χρεία ἵνα τεθῇ φθορὰ δευτέρου; ἀλλὰ διὰ τοῦτο τίθεται ἡ φθορά, δεσμοῦσα τὸ μέλος ἑλκόμενον.

Φ

Περὶ τῆς τοῦ τρίτου ἤχου φθορᾶς.

Εἰ δὲ τοῦ τρίτου ἤχου θεῖναι βούλει φθοράν, γίνωσκε ὅτι οὐ τίθεται εἰς τὸν ἦχον αὐτοῦ ψαλλόμενον ἁπλῶς χωρὶς ἄλλης φθορᾶς ἡ τούτου φθορά· ἐπειδὴ γὰρ τρίτος ἐστὶ καὶ οὐκ ἀναγκάζει τὸ τούτου μέλος ἄλλη φθορά, χρείαν ἡ φθορὰ τοῦ τρίτου οὐκ ἔχει. πλὴν ὅτε γένηται τριφωνία ἀπὸ τοῦ τρίτου, τότε τίθεται ἡ τοῦ τρίτου φθορά, ἥτις λέγεται καὶ φθορὰ τοῦ πλαγίου τετάρτου καὶ ὀνομαζομένη νανά. τίθεται δὲ καὶ ἐκεῖ ὅπου ζητεῖ τὸ μέλος καὶ ἀναγκάζει ὅπως λύσῃ ἄλλην φθοράν. ἡ φθορὰ γοῦν αὕτη οὐκ ἀλλαχοῦ καταλήγει, εἰ μὴ εἰς τὸν πλάγιον τέταρτον, καθὼς προείπομεν, ὅτι ἔστι καὶ λέγεται φθορὰ πλαγίου τετάρτου, καὶ ὡς καθὼς μαρτυρεῖ τοῦτο καὶ ὁ θαυμάσιος τῳόντι μαίστωρ, ὁ Κουκουζέλης, εἰς τὸ Οἴμοι γλυκύτατε Ἰησοῦ, ἐν τῷ Μεγαλύνω τὰ πάθη σου· τίθησι γὰρ ἐκεῖ τὴν τοῦ νανὰ φθορὰν εἰς τὸν ἀπὸ παραλλαγῶν τέταρτον καὶ γίνεται τρίτος. καὶ πρῶτον μὲν λύει τὴν τοῦ νενανῶ φθοράν, δεύτερον δὲ ὅτι κατέρχεται ἀνεμποδίστως εἰς τὸν πλάγιον τετάρτου. εἰς δὲ τὰ φθορικὰ κρατήματα πολλάκις ἡ φθορὰ αὕτη καταλήγει καὶ εἰς ἦχον πλάγιον πρώτου. οὐ ποιεῖ δὲ τοῦτο ὁ ποιητὴς καὶ τίθησι τὴν φθοράν, ἵνα κατέλθῃ ἀπαραιτήτως εἰς τὸν πλάγιον πρώτου, ἀλλ' ἵνα λύσῃ προτεθειμένην φθοράν, καὶ μετὰ ταῦτα εὑρίσκει, ὅτι κατέρχεται καὶ εἰς τὸν πλάγιον πρώτου τυχοῦσα. εἰ μὲν οὖν γένηται τρίτου ἤχου ἰδέα ἐκεῖ ὅπου ἂν τεθῇ ἡ φθορὰ αὕτη, γίνωσκε ὅτι πρῶτον τίθεται διὰ λύσιν τῆς τοῦ νενανῶ φθορᾶς, καὶ δεύτερον ἵνα δεσμεύσῃ καὶ καταλήξῃ καὶ εἰς τὸν πλάγιον τετάρτου, καθὼς προειρήκαμεν. εἰ δὲ τεθῇ διὰ λύσιν τῆς τοῦ νενανῶ καὶ μόνον καὶ οὐ καταλήξει εἰς ἦχον πλάγιον τετάρτου, νόει ὅτι ἢ μέλος τοῦ πλαγίου δευτέρου ἔνι κατ' ἀρχάς, ἢ νενανῶ, καὶ διὰ τοῦτο πρὸ ὀλίγου ποιεῖ μερικὴν ἐναλλαγὴν καὶ πάλιν ψάλλεται τὸ τοῦ νενανῶ μέλος ἢ τοῦ πλαγίου δευτέρου εἰς τὴν ἰδέαν αὐτοῦ. εἰ δὲ ἄλλου ἤχου ἐστὶ μέλος, ἤγουν πρώτου ἢ δευτέρου, ἢ πλαγίου πρώτου ἢ βαρέος, καὶ δεσμεῖται παρὰ τῆς τοῦ νενανῶ φθορᾶς, εἶτ' ἀναγκάζει πάλιν τὸ μέλος καὶ ζητεῖ ἵνα ἔλθῃ εἰς τὴν ἰδέαν αὐτοῦ, τότε ἔστι χρεία ἵνα θῇς φθορὰν πρὸς λύσιν τοῦ νενανῶ. καὶ εἰ μὲν πρώτου φθορά ἐστιν, ἵνα κατέλθῃς βαρὺν καὶ μετὰ ταῦτα εὕρῃς τὸν ζητούμενον ἦχον· εἰ δὲ δευτέρου, ἵνα κατέλθῃς τὸν μέσον αὐτοῦ δεδεμένον καὶ μετὰ ταῦτα ἵνα λύσῃς αὐτὸν μετὰ τῆς νανὰ φθορᾶς, ἢ τοῦ τετάρτου, καὶ διορθώσῃς τοῦ πρώτου μέλους τὴν ἰδέαν καὶ

εὑρήσῃς ὃ βούλει· εἰ δὲ τρίτου μόνον, ἵνα κατέλθῃς καὶ τὸν πλάγιον τετάρτου ἀνεμποδίστως καὶ ποιήσῃς καὶ τὸν ἦχον, καὶ μετὰ ταῦτα ὡς βούλει καὶ τὸ ἔμπροσθεν ποιήσῃς. γνωστόν σοι δὲ ἔστω καὶ τοῦτο, ὅτι ἡ φθορὰ αὕτη οὐκ ἔχει καθὼς ἐστιν ἡ τοῦ πρώτου ἢ τοῦ δευτέρου, ἢ τοῦ τρίτου, ἢ τοῦ τετάρτου, ἢ τοῦ πλαγίου δευτέρου, διότι καὶ τούτων τῶν ἤχων αἱ φθοραὶ δεσμοῦσι καὶ λύουσι τάχει καὶ ποιοῦσιν ἐναλλαγὴν μερικὴν ἀπὸ ἦχον εἰς ἄλλον καὶ ἔχουσι τοῦτο καὶ μόνον. αὕτη δὲ ἡ τοῦ νανὰ φθορά, ἥτις ἐστὶν ἀπὸ παραλλαγῶν ἦχος τρίτος, οὐχ οὕτως, ἀλλὰ σχεδὸν εἰπεῖν ἔστιν ὡς ἦχος κύριος, διότι καὶ στιχηρὰ ἰδιόμελα πολλὰ ἔχει καὶ προσόμοια καὶ εἱρμοὺς καὶ καλοφωνικὰ στιχηρά, ὡς οἱ κύριοι ἦχοι. ἀλλὰ καὶ ἀλληλουϊάρια εἰς τὸν πολυέλεον καὶ εἰς τὸν ἄμωμον τῶν λαϊκῶν. καὶ εἰκότως ἄν τις καλέσειε ταύτην ἦχον καὶ οὐ φθοράν, καθὼς ἔχει καὶ ἡ τοῦ νενανῶ γλυκυτάτη καὶ λεπτοτάτη φθορά. καὶ ταῦτα μὲν οὕτως.

Περὶ τῆς τοῦ τετάρτου ἤχου φθορᾶς.

Ἀναγκαῖον δὲ εἰπεῖν καὶ περὶ τῆς τοῦ τετάρτου ἤχου φθορᾶς. γίνωσκε γάρ, ὅτι χωρὶς δεσμοῦ πρῶτον τοῦ νενανῶ ἢ μέλους δευτέρου ἤχου κατ' ἀρχὰς οὐ τίθεται ἡ τοῦ τετάρτου ἤχου φθορά. καὶ εἰ μὲν δεσμός ἐστι τῆς τοῦ νενανῶ φθορᾶς, θέλων λῦσαι τὸ ταύτης μέλος ὁ ποιητὴς τίθησι τὴν τοῦ τετάρτου ἤχου φθορὰν καὶ εὐθὺς περικόπτει τὴν δύναμιν τοῦ νενανῶ καὶ ποιεῖ μέλος ἴδιον αὕτη, καθὼς ποιεῖ ὁ χαριτώνυμος διδάσκαλος εἰς τὸ Ὁ κατοικῶν ἐν οὐρανοῖς καὶ εἰς τὸ φθορικὸν αὐτοῦ τὸ πλαγίου τετάρτου· ἀλλὰ καὶ εἰς τὸν τέταρτον. ὁμοίως καὶ ὁ Κορώνης εἰς τὸ τέλος τοῦ Ἱνατί ἐφρύαξαν τὸ μέγα. καὶ ὁ λαμπαδάριος Ἰωάννης εἰς τὸ φθορικὸν αὐτοῦ κράτημα, τὸ πλαγίου τετάρτου, καὶ εἰς τὸ Τῇ ὑπερμάχῳ καὶ εἰς τοὺς οἴκους αὐτοῦ ὁμοίως ποιεῖ. καὶ εἰς ἄλλα πολλὰ οἱ αὐτοὶ καὶ ἕτεροι ποιηταὶ ὁμοίως ποιοῦσιν. εἰ δὲ δευτέρου ἤχου μέλος ἐστὶ κατ' ἀρχὰς καὶ θέλων ὁ ποιητὴς ὑποστεῖλαι τὸ τούτου μέλος καὶ ποιῆσαι πλαγίου τετάρτου ἀντὶ τοῦ ἔσω δευτέρου δεδεμένου τίθησι τὴν φθορὰν τοῦ τετάρτου ἤχου καὶ ποιεῖ λύσιν τῆς τοῦ δευτέρου καὶ γίνεται πλάγιος τετάρτου, καθὼς ποιεῖ τοῦτο ὁ κορυφαῖος τῶν διδασκάλων καὶ ὡς ἀληθῶς μαΐστωρ Ἰωάννης ὁ Κουκουζέλης εἰς τὸ στιχηρὸν τῶν Ἁγίων Τεσσαράκοντα, Τὴν τετραδακάριθμον χορείαν, εἰς τὸν δεύτερον πόδα, τὸ Ἐλάφρυνον τὸ βάρος· δευτέρου γὰρ ἤχου ὄντος τοῦ καλοφωνικοῦ αὐτοῦ, περὶ τὰ τούτου μέσα τίθεται φθορὰ τετάρτου εἰς τὸ Ἐβάφησαν ἡμῶν οἱ πόδες, καὶ ἀντὶ τοῦ τὸν ποιητὴν κατελθεῖν δεύτερον ἔσω, κατέρχεται ἁπλῶς εἰς τὴν τοῦ πλαγίου τετάρτου φύσιν, ὡς καθὼς γίνεται καὶ εἰς τὸ Παῦλε στόμα κυρίου. τὸ αὐτὸ ποιεῖ καὶ πρωτοψάλτης ὁ Γλυκὺς εἰς τὸ τοῦ ἁγίου Σπυρίδωνος

στιχηρόν, τὸ Ἱεραρχῶν τὸ θεῖον κειμήλιον, εἰς τὸ Σὺ ἐν ἀρεταῖς. ὁμοίως καὶ ὁ Καμπάνης εἰς τὸ Οὗτος γὰρ ἐκήρυξεν οὕτως ποιεῖ, καὶ ψάλλεται ἀπὸ τὰ μέσα λελυμένον ἕως τέλους εἰς φύσιν πλαγίου τετάρτου. ἑπόμενος οὖν κἀγὼ τούτοις τοῖς διδασκάλοις ἐποίησα εἰς τὸ ἴδιον στιχηρὸν Τὸ ἀπ' αἰῶνος μυστήριον ὁμοίως, εἰς τὸ Καὶ θεὸς ἐπιθυμήσας οὐ γέγονεν· τίθημι γὰρ τὴν τοῦ τετάρτου ἤχου φθορὰν καὶ κατέρχεται ἅπαν τὸ μέλος ἀπὸ τῆς φθορᾶς τοῦ τετάρτου λελυμένον μέχρι τέλους. ὁμοίως καὶ εἰς τὸ στιχηρὸν Τὸν ἐκ προφήτου προφήτην, καὶ εἰς τὸ Χαίρετε λαοὶ καὶ ἀγαλλιᾶσθε· πολλάκις γὰρ εὑρίσκομεν καὶ τὸν τρίτον ἑπταφωνοῦντα, ἀπὸ τὸν πλάγιον τετάρτου γινόμενον τέταρτον, καθὼς ποιεῖ τοῦτο ὁ Κορώνης εἰς τὸ τοῦ Ἱνατί ἐφρύαξαν κράτημα. καὶ ἄλλοι πολλοὶ ποιοῦσι τοῦτο. τοῦτο δὲ μάλιστα εὕροι τις ἂν καὶ εἰς τοὺς οἴκους τοὺς παλαιοὺς πολλαχῶς, ἀλλὰ καὶ εἰς τοῦ λαμπαδαρίου. καὶ ἄλλως τὸν ἀπὸ παραλλαγῆς γὰρ πρῶτον ἦχον εὑρίσκομεν γεγονότα τέταρτον, καθὼς ποιεῖ Μιχαὴλ ὁ τῆς Πατζάδος εἰς τὸ Γενεθλίων τελουμένων καὶ εἰς τὸ Τῇ ἀθανάτῳ σου κοιμήσει, καὶ ὁ μοναχὸς Γερμανὸς εἰς τὸ Αὕτη ἡ ἡμέρα κυρίου, καὶ ἄλλος εἰς τὸ Ἀτελεύτητος ὑπάρχει. ταῦτα δὲ γίνονται παρὰ τῆς τοῦ τετάρτου φθορᾶς, εἰ καὶ οὐ τίθεται πολλάκις φθορὰ τετάρτου, ἀλλ' ἀπὸ μέλους γινόμενον οὕτως φθορὰ καλεῖται. καὶ ταῦτα μὲν περὶ ταύτης.

### Περὶ τῆς τοῦ πλαγίου δευτέρου ἤχου φθορᾶς.

Περὶ δὲ τῆς τοῦ πλαγίου δευτέρου ἤχου φθορᾶς ἔχει τις ἂν ἴσως εἰπεῖν, ὅτι εἰ μὴ ἦν τοῦ νενανῶ, ἦν χρεία τῆς τοῦ πλαγίου δευτέρου· ἐπεὶ δὲ τοῦ νενανῶ ἡ φθορὰ δύναται καὶ τὸ ταύτης ἀναπληροῦν ὑστέρημα καὶ τὴν ἑαυτῆς χρείαν, τίς ἦν χρεία ἵνα τεθῇ ἡ τοῦ πλαγίου δευτέρου; οὕτω μὲν οὖν εἴποι τις ἂν ἀπορῶν. ἡμεῖς δὲ φαμὲν οὕτως, ὅτι ἡ μὲν τοῦ νενανῶ φθορὰ δεσμοῖ εἰς πλάτος καὶ λύεται ἐντέχνως παρ' ἄλλων φθορῶν, καὶ ἔχει καθ' ἑαυτὴν μονοπροσώπως ἴδια μέλη καὶ ἄλλην ἐνέργειαν, ἅτινα οὐκ ἔχει αὕτη ἡ τοῦ πλαγίου δευτέρου, καθὼς μέλλομεν εἰπεῖν περὶ ταύτης· τοῦ δὲ πλαγίου δευτέρου ἡ φθορὰ οὐχ οὕτως, ἀλλὰ ποιεῖ καὶ αὐτὴ μερικὴν ἐναλλαγήν, ὡς καὶ αἱ τῶν ἄλλων ἤχων φθοραί, καὶ εὐθὺς λύεται ὡς ἐν συντόμῳ καὶ χωρὶς ἑτέρας φθορᾶς, καθὼς ὑποδεικνύει τοῦτο ὁ χαριτώνυμος μαΐστωρ, ὁ Κουκουζέλης, εἰς τὸ μουσικώτατον αὐτοῦ κράτημα, ὃ ἔχει εἰς τὸν βαρὺν ἦχον, τὸ μέγα· τίθησι γὰρ ἐκεῖ περὶ τὰ μέσα τῆς τοῦ κρατήματος ὁδοῦ τὴν τοῦ πλαγίου δευτέρου φθορὰν καὶ κατέρχεται τὸ μέλος εἰς τὸν πλάγιον δευτέρου ἁπλῶς, οὐχ ὡς τῆς νενανῶ δεσμοῦ φθορᾶς. καὶ παρακατιὼν πάλιν τὸ αὐτὸ ποιεῖ. καὶ πάλιν εἰς ἓν ἀλληλουϊάριον,

ὃ ἔχει εἰς τὸν μέγαν ἑσπερινόν, ὃ λέγεται Φράγγικον, ὁμοίως ποιεῖ. ἀλλὰ καὶ εἰς τὸ Δουλεύσατε περὶ τὸ τοῦ κρατήματος τέλος· ὁμοίως καὶ εἰς τὸν καλοφωνικὸν στίχον τὸ Οὐδὲ γάρ ἐστι πνεῦμα, περὶ τὰ μέσα τούτου. εἰ δὲ θέλεις μαθεῖν καὶ εἰς ἄλλα καλοφωνικὰ καὶ κρατήματα πῶς τίθεται καὶ δεσμοῖ καὶ λύεται ὡς ἐν συντόμῳ, ἴδε εἰς ταῦτα τὰ προρρηθέντα ποιήματα καὶ ἀλλαχοῦ εἰς ἄλλα μαθήματα, καὶ εἰς τὴν ἀρχὴν τοῦ Ἂν βάρος μὲν τῶν λυπηρῶν, καὶ εἰς τὸ κράτημα τοῦ Κορώνη τὸ πλαγίου δευτέρου, τὸ μέγα, περὶ τὴν ἀρχὴν καὶ εἰς τὸ ἔμπροσθεν· καὶ εἰς τὴν ἀρχὴν τοῦ κρατήματος τοῦ Κουκουζέλη, τοῦ ὀνομαζομένου χοροῦ, ὃ ἔχει εἰς τὸν πλάγιον τετάρτου. ἀλλὰ καὶ εἰς τὸ ἴδιόν μου κατανυκτικόν, ὃ ἐποίησα εἰς τὸν βαρὺν ἦχον, Τὴν τετραυματισμένην μου ψυχήν, περὶ τὴν ἀρχήν, καὶ νόει ὅτι οὕτως πρέπον τιθέναι τὴν τοῦ πλαγίου δευτέρου φθοράν.

## Περὶ τῆς γλυκυτάτης φθορᾶς τοῦ νεἅνῶ.

Ἐσχάτην μὲν τῇ τάξει, πρώτην δὲ τῷ ἀξιώματι πασῶν τῶν φθορῶν ὡς ἀποτέλεσμά τι καὶ οἷον μελιχρὸν καὶ εὔηχον μέλος, ὡς κρατίστην καὶ λιγυρωτέραν, μᾶλλον δὲ καὶ κυριωτέραν, περιφέρομεν τὴν τοῦ νενανῶ φθοράν, ἥτις ἐστὶν ἀπὸ παραλλαγῶν ἦχος πρῶτος· διότι αἱ μὲν τῶν ἄλλων ἤχων φθοραὶ δεσμοῦσι καὶ λύουσιν ὡς ἐν συντόμῳ ἐντέχνως, ἡ δὲ τοῦ νενανῶ φθορὰ καὶ αὐτὸ μὲν ἔχει καὶ αὐτὴ κατὰ τόπους, ἔχει δὲ καὶ περιττότερα ἄλλα, ἅτινα οὐκ ἔχουσιν αἱ τῶν ἄλλων ἤχων φθοραί· ἴδιον γὰρ μέλος ἔχει παρὰ τοὺς ἄλλους ἤχους καὶ παρὰ τὰς φθορὰς αὐτῶν καὶ ἄλλην ἐνέργειαν. καὶ εἰκότως ἄν τις καλέσειε ταύτην ἦχον καὶ οὐ φθοράν, ἐπεὶ καὶ παρὰ τοῖς παλαιοῖς ἔνατος ἦχος καλεῖται, διότι ἔχει μονοπροσώπως ἐπ' αὐτῇ ἡ φθορὰ αὕτη καὶ ἀλληλουϊάρια, καὶ στιχηρὰ ἰδιόμελα, καὶ καλοφωνικά, καὶ κρατήματα, καὶ κατανυκτικά, καὶ σχεδόν, εἴ τι ζητήσεις ἐν ταύτῃ τῇ φθορᾷ, εὑρήσεις καθὼς ἔχουσι καὶ οἱ κύριοι ἦχοι. ὅταν δὲ τεθῇ καὶ εἰς ἄλλου ἤχου μέλος, ποιεῖ μέλος ἴδιον παρ' ὃ ποιοῦσιν αἱ ἄλλαι φθοραί, καὶ ἡ κατάληξις ταύτης οὐ γίνεται εἰς ἄλλον ἦχον ποτέ, εἰ μὴ εἰς τὸν πλάγιον δευτέρου. εἰ δὲ θήσει τις ταύτην τὴν φθορὰν καὶ οὐ καταλήξει εἰς πλάγιον δευτέρου, ἀλλ' εἰς ἕτερον ἦχον, τοῦτο οὐκ ἔστιν ἔντεχνον· προείπομεν γάρ, ὅτι ἔστιν ἀπὸ παραλλαγῶν ἡ αὐτὴ πρῶτος ἦχος. καὶ οὕτως ἔχει, ἀλλ' οὐ συνίσταται πάντοτε εἰς πρῶτον ἦχον τὸ μέλος αὐτῆς, ἀλλὰ πολλάκις δεσμοῦσα καὶ τὸν τρίτον ποιεῖ τοῦτον νενανῶ, ὁμοίως καὶ τὸν τέταρτον· ἐνίοτε δε καὶ τὸν δεύτερον καὶ τὸν πλάγιον τετάρτου. πλὴν ἡ κατάληξις αὐτῆς γίνεται εἰς τὸν πλάγιον δευτέρου, κἂν εἰς ὁποῖον ἦχον καὶ τεθῇ, καθὼς διδάσκει καὶ ποιεῖ τοῦτο ὁ ἀληθὴς μουσικώτατος καὶ διδάσκαλος μαίστωρ Ἰωάννης εἰς τὸ Μήποτε ὀργισθῇ κύριος ἐν τῷ Δου-

λεύσατε· τετάρτου γὰρ ἤχου ὄντος ἐκεῖ ἀπὸ παραλλαγῶν, δεσμοῖ τοῦτο ἡ φθορὰ αὕτη καὶ ἀντὶ τοῦ κατελθεῖν πλάγιον πρῶτον, κατέρχεται πλάγιον δευτέρου. ὁμοίως καὶ πρωτοψάλτης ὁ Κορώνης εἰς τὸ Ὦ πάσχα τὸ μέγα καὶ περὶ τὰ μέσα εἰς τὸ Σοῦ μετασχεῖν. καὶ ὁ λαμπαδάριος Ἰωάννης εἰς τὸ Ἀναστάσεως ἡμέρα καὶ εἰς τὸ Αὕτη ἡ κλητὴ καὶ εἰς τὸ Τὴν παγκόσμιον δόξαν καὶ εἰς ἄλλα πολλὰ ὁμοίως ποιεῖ. ἀλλὰ καὶ εἰς τὸν πολυέλεον τοῦ Κουκουμᾶ καὶ εἰς τὰ ἀντίφωνα τοῦ βαρέος οὕτω ποιοῦσι πάντες, καὶ ἄλλως εἰς τὸ Τῇ ὑπερμάχῳ δεσμοῖ τὸν τρίτον ἐκεῖ πολλάκις ἑπταφωνοῦντα καὶ γίνεται νενανῶ. καὶ εἰς τὰ κρατήματα αὐτοῦ τὰ πλαγίου τετάρτου, ἀλλὰ δὴ καὶ εἰς ἀλληλουϊάρια καὶ κοινωνικὰ ὁμοίως ποιεῖ. εἰς δὲ τὰ ἀντίφωνα, τοὺς τετάρτους, ποιοῦσι τοῦτο πάντες οἱ ποιηταί. ἀλλὰ καὶ εἰς πολλὰ καλοφωνικὰ ὁμοίως καὶ τὸν δεύτερον γινόμενον νενανῶ καὶ τὸν πλάγιον τετάρτου εὑρήσεις εἰς τὰ φθορικὰ κρατήματα καὶ εἰς τοὺς οἴκους τοῦ λαμπαδαρίου.

## Ἐπίλογος.

Ταυτὶ μὲν οὖν ἡμεῖς εἰς δύναμιν ἀρκούντως δοκοῦμεν εἰρῆσθαι, τάχα δὲ καὶ ὡς ὁ τῆς ἀληθείας βούλεται λόγος. εἴη δὲ καὶ τοῖς ἄλλοις ἅπασιν οὕτω δόξειν περὶ αὐτῶν· εἰ δέ τισιν οὐκ ἀρέσκει τὰ εἰρημένα, ἡμᾶς μὲν ἡ τῆς ἀληθείας ζήτησις ἐξαιτιᾶται, εἰ καί ποι δοκεῖ μὲν διαπίπτειν αὐτῆς — δυσθήρατος γὰρ ἡ ταύτης εὕρεσις —, ἐκεῖνοι δὲ καθ' ὅ τι ἂν αὐτοῖς ἀρέσκει λεγέτωσαν· εὔλογα γὰρ δοκοῦντες λέγειν καὶ ἡμᾶς ἕξουσι πειθομένους τε αὐτοῖς καὶ χάριν εἰδότας τῆς ὠφελείας, εἰ μή τι βέλτιον τῆς αὐτῶν ἀντιθέσεως εἰπεῖν ἔχομεν. μὴ δεικνύντες δὲ καθ' ὅ τι οὐκ ἀρεστὰ τὰ εἰρημένα, ἁπλῶς δὲ μόνον οὕτω λέγοντες μὴ ἄμεμπτα εἶναι, δυνήσονται μὲν πείσειν οὐδένα, δόξουσι δὲ πᾶσι λοιπὸν ὡς ἀκαίρῳ φιλονεικίᾳ καὶ φθόνῳ κεκινημένοι τοῖς πάντῃ βασκαίνουσιν ἀνεπιλήπτοις.

+ Ἐν ἔτει ͵αχνς$^{\omega}$ [= 1656] τῆς ἐνσάρκου οἰκονομίας ἐγράφη τὸ παρὸν χειρὶ Παρθενίου ἱερομονάχου. τοῦ ἐν πνευματικοῖς κυροῦ Ματθαίου.

Ἀ. Παπαδόπουλος-Κεραμεύς.